Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

R 299

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

# ΤΑ ΣΥΝΕΧΟΜΕΝΑ.

19208

ΛΟΥΚΙΑΝΟΥ Σαμωσατέως Ἰκαρομένιππος ἢ ὑπερνέφελος.

ΤΟΥ ΑΥΤΟΥ Ἕτερος Διάλογος Ποσειδῶνος καὶ Ἑρμοῦ.

ΞΕΝΟΦΩΝΤΟΣ Ἱέρων ἢ Τυραννικός.

ΙΣΟΚΡΑΤΟΥΣ Λόγος παραινετικὸς πρὸς Δημόνικον.

ΔΗΜΟΣΘΕΝΟΥΣ Λόγοι Ὀλυνθιακοὶ μεθ' ὑποθέσεων Λιβανίου σοφιστοῦ.

ΛΙΒΑΝΙΟΥ Σοφιστοῦ Μελέτη, ὡς παρὰ Μενελάου τὴν Ἑλένην καὶ τὰ ἑαυτοῦ ἐν τῇ τῶν Τρώων ἀπαιτοῦντος ἐκκλησίᾳ.

ΓΡΗΓΟΡΙΟΥ Τοῦ θεολόγου προσδιάλεξις. πῶς θεολογητέον.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΤΙΝΑ Εἰς τὸν ἀνθρώπινον βίον.

# CONTENTA.

LVCIANI Samosatensis Icaromenippus vel Hypernephelus.

EIVSDEM Alter Dialogus Neptuni et Mercurii.

XENOPHONTIS Hieron vel Tyrannicus.

ISOCRATIS Oratio Admonitoria ad Demonicum.

DEMOSTHENIS Orationes Olynthiacę tres cum argumentis Libanii Sophistę.

LIBANII SOPHISTAE Declamatio sub persona Menelai Helenam & res suas in Troianorum contione repetentis.

GREGORII Theologi Disertatio. Quomodo Theologiæ vacandum sit.

EPIGRAMMATA QVAEDAM In humanam vitam.

COMPLVTI IN AEDIBVS MICHAELIS DE GVIA. M.D.XXIIII.
MENSE IVNIO.

Ayuntamiento de Madrid

¶ Franciscus Vergara Grecaꝝ literaꝝ in Complutẽ Academia Professor: eiusdẽ dignissimo Rectori ꝛ Collegis Salutem.

TErtius hic annus est Rector meritissime viriq; modestiss.
Ex quo in hac vestra Schola grecas lr̃as ꝓfiteor. Quo tẽ-
pore: q̄r libroꝝ penuria factum est: vt q̄ꝫtum ꝓfecerim ni-
mis peniteat: statui nũc demũ aliquot optioꝝ autoꝝ opus-
cula typis excudere. vt iis veluti degustatiũculis palatũ iterũ
auditores remorẽt: dũ ꝯpositꝫ christianoꝝ p̃ncipũ reb9: lau
tiores epulas alicũde ad nos ꝯuehi libeꝝ sit. Sum9. n. ĩ eo
orbe: vbi oẽs artes tã mechanice: q̄ꝫ etiã (qđ maxiꝓe dolẽdũ ẽ) liberales:
gẽtꝫ ĩertia atq; auaritia ĩ tãtũ frigẽt: vt (omissa interĩ reliq̃ꝝ artificũ rustici-
tate) vix typograph9 aliq̃s inueniatᷣ: q̃ nõ dico grecũ: sed latinũ codicẽ: etiã
ex iis q̃ ꝓbe venales futuri eẽnt: sua pecunia formis velit ꝓpagare. Foeda
nimiꝝ hec est ac pudenda barbaries: ꝛ ciuilib9 q̃busuis: nedũ ingenuis virꝫ
ĩdigna. Quã ꝓculdubio: sicuti coeꝑat: fundit9 iam eliminasset ille vr̃i gym-
nasij prudentiss. ꝯditor: si diuti9 Hispane reip. supfuisset. Nam dũ nullũ
nõ moueret lapidẽ: vt museũ istđ oĩb9 numeris absolueret: p̃ter q̄ꝫ plurima
alia decora: que illi ꝯtulit: libroꝝ etiã nõ paruã supellectilẽ: atq; in iis vtrũ-
q; testamẽtũ multiplici lingua imp̃ssum: opus a ꝯdito euo pulcherrimũ iu-
xta atq; opositissimũ: elargit9 est. Quinetiã totũ Aristotelẽ Grecũ addita no
ua ꝛ ꝑlucida traductiõe edere parabat: quũ inuidentib9 parcis e medio nob
sublat9 est. Non tñ tot9 cõi vtilitati erept9 videtᷣ relicta hac vr̃a Academia.
In q̃ locupletãda ꝛ dispensatorẽ egit fidelẽ ꝛ ꝓuidentissimũ pastorẽ verũq;
Pontificẽ: Decretis. s. munificentiss. redditib9 ad subleuandã inopũ pauꝑ
tatẽ: ꝛ ꝯparandã oĩm disciplinaꝝ ac bonaꝝ lr̃aꝝ eruditionẽ. vt nõ deessent
q̃ paruulis petẽtib9 vtrũq; frangerẽt panẽ. Hui9 penu: quũ vos nũc dispẽ
satores sitis: ita demũ ministerio defungemini: si ad illi9 exemplar actiões
vr̃as effingatis. Alliciebat ille vndecũq; viros doctrina virtuteq; prestan-
tes: quos schole vr̃e preficeret. Id vos ampliss. vectigalib9 in hãc rẽ accep-
tis conari debetis. Erexit collegia nõ pauca: q̃b9 studiosoꝝ adolescentũ in-
opie q̃etiq; ꝯsuluit. vr̃a cura est ꝓspicere: nõ tãtũ ne corruãt: sꝫ vt ad illa nõ
admittantᷣ. nisi ꝓbi atq; explorati iuuenes: ꝛ q̃b9 erudiendis oꝑa ꝛ impensa
frustra nõ insumantᷣ. Noua semꝑ cudebat: vt sacras lr̃as atq; igenuas disci
plinas indies purgatiores vulgatioresq; efficeret. id vel maxime hoc tꝑe ad
vos spectat: quo ꝓpter p̃ncipũ discordias miserabilẽ libroꝝ egestatẽ iamp̃-
dem sustinem9: presertim Grecoꝝ: q̃ quãto sunt vbiq; rariores tanto ad nos
rarissime veniũt. Succurrite igitᷣ emicantib9 ingenuoꝝ iuuenũ scintillis: ne
inopia fomẽti ꝓrsus extinguantᷣ. Eq̃dẽ nõ paucos indicare possem. q̃ a me
his trib9 annis erudiri cepti: codicũ despatiõe defecerĩt. Si sumpt9 horretꝫ:
nihil est in hac re qđ vereamini. Sit libroꝝ copia: nõ deerit ꝛ emptoꝝ. En
itaq; (si exemplũ ex me req̃ritis) ipse cui facultas pene nulla est: vt vr̃e scho-
le ꝓsim: prior hanc fortunã experior: his opusculis meo sumptu ꝛ labore edi-
tis. Que ea lege sub vr̃o noĩe in publicũ ꝓdeunt: vt cũ foenore mľto plura
ac maiora Grece lr̃ature sititoribus rependatis. Valete.

Ayuntamiento de Madrid

# ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ ΙΚΑΡΟΜΕΝΙΠΠΟΣ Η ΥΠΕΡΝΕΦΕΛΟΣ.

## ΜΕΝΙΠΠΟΣ.

Οὐκοῦν τριχίλιοι μὲν ἦσαν ἀπὸ γῆς στάδιοι μέχρι πρὸς τὴν σελήνην, ὁ πρῶτος ἡμῖν σταθμός. τοὐντεῦθεν δὲ, ἐπὶ τὸν ἥλιον ἄνω παρασάγγαι που πεντακόσιοι. τὸ δὲ ἀπὸ τούτου, ἐς αὐτὸν ἤδη τὸν οὐρανὸν καὶ τὴν ἀκρόπολιν τὴν τοῦ διὸς ἄνοδον, καὶ ταῦτα γένοιτο εὐζώνῳ ἀετῷ μιᾶς ἡμέρας. Ἑται. τί ταῦτα πρὸς χαρίτων ὦ Μένιππε ἀστρονομεῖς, καὶ ἡσυχῇ πως ἀναμετρεῖς; πάλαι γὰρ ἐπακροῶμαί σου παρακολουθῶν, ἡλίους καὶ σελήνας, ἔτι δὲ τὰ φορτικὰ ταῦτα, σταθμοὺς καὶ παρασάγγας ὑποξενίζοντος. Μένι. μὴ θαυμάσῃς ὦ ἑταῖρε, εἰ μετέωρα καὶ διαέρια δοκῶ σοι λέγειν. τὸ κεφάλαιον γὰρ δὴ πρὸς ἐμαυτὸν λογίζομαι τῆς ἔναγχος ἀποδημίας. Ἑται. εἶτα ὦγαθέ, καθάπερ οἱ φοίνικες ἄστροις ἐτεκμαίρου τὴν ὁδόν; Μένι. οὐ μὰ δία. ἀλλ' ἐν αὐτοῖς ἄστροις ἐποιούμην τὴν ἀποδημίαν. Ἑται. ἡράκλεις. μακρόν γε τὸν ὄνειρον λέγεις. εἴγε σαυτὸν ἔλαθες κατακοιμηθεὶς παρασάγγας ὅλους. Μένι. ὄνειρον γὰρ ὦ τὰν δοκῶ σοι λέγειν, ὃς ἀρτίως ἀφῖγμαι παρὰ τοῦ διός; Ἑται. πῶς ἔφησθα; Μένιππος ἡμῖν διοπετὴς πάρεστιν ἐξ οὐρανοῦ. Μένιππος. καὶ μὴν ἐγώ σοι παρὰ αὐτοῦ ἐκείνου τοῦ πάνυ διὸς ἥκω τήμερον, θαυμάσια καὶ ἀκούσας καὶ ἰδών. εἰ δὲ ἀπιστεῖς, καὶ αὐτὸ τοῦτο ὑπερευφραίνομαι, τὸ πέρα πίστεως εὐτυχεῖν. Ἑται. καὶ πῶς ἔγωγε ὦ θεσπέσιε καὶ ὀλύμπιε Μένιππε θνητὸς αὐτὸς καὶ ἐπίγειος ὤν, ἀπιστεῖν δυναίμην ὑπερνεφέλῳ ἀνδρί, καὶ ἵνα καθ' Ὅμηρον εἴπω, τῶν οὐρανίων ἑνί; ἀλλ' ἐκεῖνά μοι φράσον, εἰ δοκεῖ, τίνα τρόπον ἤρθης ἄνω. καὶ ὁπόθεν ἐπορίσω κλίμακα τηλικαύτην τὸ μέγεθος. τὰ μὲν γὰρ ἀμφὶ τὴν ὄψιν, οὐ πάνυ ἔοικας ἐκείνῳ τῷ φρυγί, ὥστε καὶ ἡμᾶς εἰκάζειν καὶ σὲ οἰνοχοήσοντά που, ἀνάρπαστον γεγονέναι πρὸς τοῦ ἀετοῦ. Μένι. σὺ μὲν πάλαι σκώπτων δῆλος εἶ. καὶ θαυμαστὸν οὐδὲν, εἴ σοι τὸ παράδοξον τοῦ λόγου μύθῳ δοκεῖ προσφερές. ἀτὰρ οὐδὲν ἐδέησέ μοι πρὸς τὴν ἄνοδον, οὔτε τῆς κλίμακος, οὔτε παιδικὰ γενέσθαι τοῦ ἀετοῦ. οἰκεῖα γὰρ ἦν μοι τὰ πτερά. Ἑται. τοῦτο μὲν ἤδη καὶ ὑπὲρ τὸν Δαίδαλον ἔφησθα. εἴγε πρὸς τοῖς ἄλλοις, ἐλελήθεις ἡμᾶς ἱέραξ τις ἢ κολοιὸς ἐξ ἀνθρώπου γενόμενος. Μένι. ὀρθῶς ὦ ἑταῖρε



Ayuntamiento de Madrid

καὶ οὐκ ἀπὸ σκοποῦ εἴκασας. τὸ δαιδάλειον γὰρ ἐκεῖνο σόφισμα τῶν πτερῶν καὶ αὐτὸς ἐμηχανησάμην. Ἑταῖ. εἶτα ὦ τολμηρότατε πάντων, οὐκ ἐδεδοίκεις, μὴ καὶ σύ που τῆς θαλάσσης πεσών, μενίππειόν τι πέλαγος ἡμῖν ὥσπερ τὸ ἰκάριον ἀποδείξῃς ἐπὶ τῷ σεαυτοῦ ὀνόματι; Μένι. οὐδαμῶς. ὁ μὲν γὰρ Ἴκαρος, ἅτε κηρῷ τὴν πτέρωσιν ἡρμοσμένος, ἐπειδὴ τάχιστα πρὸς τὸν ἥλιον ἐκεῖνος ἐτάκη, πτερορρυήσας, εἰκότως κατέπεσεν. ἡμῖν δέ, ἀκήρατα ἦν τὰ ὠκύπτερα. Ἑταῖ. πῶς λέγεις; ἤδη γὰρ οὐκ οἶδ' ὅπως ἠρέμα με προσάγεις πρὸς τὴν ἀλήθειαν τῆς διηγήσεως. Μένι. ὧδέ πως. ἀετὸν εὐμεγέθη συλλαβών, ἔτι δὲ γῦπα τῶν καρτερῶν, ἀποτεμὼν αὐταῖς ὠλέναις τὰ πτερά. μᾶλλον δὲ καὶ πᾶσαν ἐξ ἀρχῆς τὴν ἐπίνοιαν, εἴ σοι σχολή, δίειμι. Ἑταῖ. πάνυ μὲν οὖν. ὡς ἐγώ σοι μετέωρός εἰμι ὑπὸ τῶν λόγων. καὶ πρὸς τὸ τέλος ἤδη κέχηνα τῆς ἀκροάσεως. μὴ δὲ πρὸς φιλίου με περιΐδῃς, ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον. Μέ. ἄκουε τοίνυν. οὐ γὰρ ἀστεῖόν γε τὸ θέαμα, κεχηνότα φίλον ἐγκαταλιπεῖν. καὶ ταῦτα, ὡς φής, ἐκ τῶν ὤτων ἀπηρτημένον. ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ἐξετάζων τὰ κατὰ τὸν βίον, γελοῖα καὶ ταπεινὰ καὶ ἀβέβαια τὰ ἀνθρώπινα πάντα εὕρισκον, πλούτους λέγω καὶ ἀρχὰς καὶ δυναστείας, καταφρονήσας αὐτῶν, καὶ τὴν περὶ ταῦτα σπουδήν, ἀσχολίαν τῶν ἀληθῶς σπουδαίων ὑπολαβών, ἀνακύπτειν τε καὶ πρὸς τὸ πᾶν ἀναβλέπειν ἐπειρώμην. καί μοι ἐνταῦθα πολλήν τινα παρεῖχε τὴν ἀπορίαν. πρῶτον μέν, αὐτὸς οὗτος ὁ ὑπὸ τῶν σοφῶν καλούμενος κόσμος. οὐ γὰρ εἶχον εὑρεῖν, οὔθ' ὅπως ἐγένετο, οὔτε τὸν δημιουργόν, οὔτε ἀρχήν, οὔθ' ὅ,τι τὸ τέλος ἐστὶν αὐτοῦ. ἔπειτα δὲ κατὰ μέρος ἐπισκοπῶν, πολὺ μᾶλλον ἀπορεῖν ἠναγκαζόμην. τούς τε γὰρ ἀστέρας ἑώρων, ὡς ἔτυχε τοῦ οὐρανοῦ διερριμμένους. καὶ τὸν ἥλιον αὐτόν, τί ποτε ἦν ἄρα ἐπόθουν εἰδέναι. μάλιστα δὲ τὰ κατὰ τὴν σελήνην ἄτοπά μοι καὶ παντελῶς παράδοξα κατεφαίνετο. καὶ τὸ πολυειδὲς αὐτῆς τῶν σχημάτων ἀπόρρητόν τινα τὴν αἰτίαν ἔχειν ἐδοκίμαζον. οὐ μὴν ἀλλὰ καὶ ἀστραπὴ διαΐξασα. καὶ βροντὴ καταρραγεῖσα. καὶ ὑετὸς ἢ χιὼν ἢ χάλαζα κατενεχθεῖσα. καὶ ταῦτα δυσείκαστα πάντα καὶ ἀτέκμαρτα ἦν. οὐκοῦν ἐπειδήπερ οὕτω διεκείμην, ἄριστον εἶναι ὑπελάμβανον παρὰ τῶν φιλοσόφων τούτων ταῦτα ἕκαστα ἐκμαθεῖν. ᾤμην γὰρ ἐκείνους πᾶσάν γε ἔχειν ἂν εἰπεῖν τὴν ἀλήθειαν. οὕτω δὴ τοὺς ἀρίστους ἐπιλεξάμενος αὐτῶν, ὡς ἐνῆν τεκμήρασθαι,

Ayuntamiento de Madrid

προσώπου τε σκυθρωπότητι, καὶ χρόας ὠχρότητι, καὶ γενείου βαθύτητι. μάλα γὰρ ὑψαγόραι τινές, καὶ οὐρανογνώμονες οἱ ἄνδρες αὐτίκα μοι κατεφάνησαν. τούτοις ἐγχειρίσας ἐμαυτόν, καὶ συχνὸν ἀργύριον, τὸ μέν, αὐτόθεν ἤδη καταβαλών, τὸ δέ, εἰσαῦθις ἀποδώσειν ἐπὶ κεφαλαίῳ τῆς σοφίας διομολογησάμενος, ἠξίουν μετεωρολέσχης τε διδάσκεσθαι, καὶ τὴν τῶν ὅλων διακόσμησιν μαθεῖν. οἱ δέ, τοσοῦτον ἄρα ἐδέησάν με τῆς παλαιᾶς ἐκείνης ἀγνοίας ἀπαλλάξαι, ὥστε καὶ εἰς μείζονας ἀπορίας φέροντες ἐνέβαλον, ἀρχάς τινας καὶ ἀτόμους καὶ κενὰ καὶ ὕλας καὶ ἰδέας, καὶ τὰ τοιαῦτα ὁσημέραι μου καταχέοντες. ὃ δὲ πάντων ἐμοίγ' οὖν ἐδόκει χαλεπώτατον, ὅτι μηδὲν ἅτερος θατέρῳ λέγοντες ἀκόλουθον, ἀλλὰ μαχόμενα πάντα καὶ ὑπεναντία, ὅμως πείθεσθαί τέ με ἠξίουν, καὶ πρὸς τὸν αὑτοῦ λόγον ἕκαστος ἄγειν ἐπειρῶντο. Ἑται. ἄτοπον λέγεις, εἰ σοφοὶ ὄντες οἱ ἄνδρες, ἐστασίαζον πρὸς αὑτοὺς περὶ τῶν λόγων, καὶ οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐδόξαζον. Μένι. καὶ μὴν ὦ ἑταῖρε γελάσῃ ἀκούσας τήν τε ἀλαζονείαν αὐτῶν, καὶ τὴν ἐν τοῖς λόγοις τερατουργίαν. οἵ γε, πρῶτα μὲν ἐπὶ γῆς βεβηκότες, καὶ μηδὲν τῶν χαμαὶ ἐρχομένων ἡμῶν ὑπερέχοντες, ἀλλ' οὐδ' ὀξύτερον τοῦ πλησίον δεδορκότες, ἔνιοι δὲ ὑπὸ γήρως ἢ ἀργίας ἀμβλυώττοντες, ὅμως οὐρανοῦ τε πέρατα διορᾶν ἔφασκον, καὶ τὸν ἥλιον περιεμέτρουν, καὶ τοῖς ὑπὲρ τὴν σελήνην ἐπεβάτευον. καὶ ὥσπερ ἐκ τῶν ἀστέρων καταπεσόντες, μεγέθη τε αὐτῶν καὶ σχήματα διεξῄεσαν. καὶ πολλάκις, εἰ τύχοι, μηδὲ ὁπόσοι στάδιοι μεγαρόθεν ἀθήναζέ εἰσιν ἀκριβῶς ἐπιστάμενοι, τὸ μεταξὺ τῆς σελήνης καὶ τοῦ ἡλίου χωρίον, ὁπόσων εἴη πηχῶν τὸ μέγεθος ἐτόλμων λέγειν, ἀέρος τε ὕψη καὶ θαλάττης βάθη καὶ γῆς περιόδους ἀναμετροῦντες. ἔτι δὲ κύκλους καταγράφοντες, καὶ τρίγωνα ἐπὶ τετραγώνοις διασχηματίζοντες, καὶ σφαίρας τινὰς ποικίλας, τὸν οὐρανὸν δῆθεν αὐτὸν ἐπιμετροῦντες. ἔπειτα δὲ κἀκεῖνο πῶς οὐκ ἄγνωμον αὐτῶν καὶ παντελῶς τετυφωμένον; τὸ περὶ τῶν οὕτως ἀδήλων λέγοντας, μηδὲν ὡς εἰκάζοντας ἀποφαίνεσθαι, ἀλλὰ ὑπερδιατείνεσθαί τε καὶ μηδεμίαν τοῖς ἄλλοις ὑπερβολὴν ἀπολιμπάνειν, μονονουχὶ διομνυμένους, μύδρον μὲν εἶναι τὸν ἥλιον, κατοικεῖσθαι δὲ τὴν σελήνην. ὑδατοποτεῖν δὲ τοὺς ἀστέρας, τοῦ ἡλίου καθάπερ ἱμονιᾷ τινι τὴν ἰκμάδα ἐκ τῆς θαλάττης ἀνασπῶντος, καὶ ἅπασιν αὐτοῖς ἑξῆς διανέμοντος. τὴν μὲν γὰρ ἐναντιότητα, ὁπόση τῶν λόγων, ῥᾴδιον καταμαθεῖν. καὶ



Ayuntamiento de Madrid

σκόπει πρὸς Διός, εἰ ἐν γειτόνων ἐστὶ τὰ δόγματα, καὶ μὴ πάνυ πολὺ διεστηκότα. πρῶτα μὲν γὰρ αὐτοῖς ὁ περὶ τοῦ κόσμου γνώμη διάφορος. εἴ γε τοῖς μὲν, ἀγένητός τε καὶ ἀνώλεθρος εἶναι δοκεῖ. οἱ δὲ, καὶ τὸν δημιουργὸν αὐτοῦ καὶ τῆς κατασκευῆς τὸν τρόπον, εἰπεῖν ἐτόλμησαν. οὓς καὶ μάλιστα ἐθαύμαζον, θεὸν μὲν τινα τεχνίτην τῶν ὅλων ἐφιστάντας, οὐ προστιθέντας δὲ οὔτε ὅθεν ἥκων, οὔτε ὅπου ἑστὼς, ἕκαστα ἐτεκταίνετο. καίτοι πρό γε τῆς τοῦ παντὸς γενέσεως, ἀδύνατον καὶ χρόνον καὶ τόπον ἐπινοεῖν. Ἑταῖ. μάλα τινὰς ὦ Μένιππε τολμητὰς καὶ θαυματοποιοὺς ἄνδρας λέγεις.

Μένι. τί δ᾽ εἰ ἀκούσειας ὦ θαυμάσιε, περί τε ἰδεῶν καὶ ἀσωμάτων ἃ διεξέρχονται, ἢ τοὺς περὶ πέρατός τε καὶ ἀπείρου λόγους; καὶ γὰρ αὖ καὶ αὕτη νεανικὴ αὐτοῖς ἡ μάχη. τοῖς μὲν, τέλει τὸ πᾶν περιγράφουσι. τοῖς δὲ, ἀτελὲς τοῦτο εἶναι ὑπολαμβάνουσιν. οὐ μὴν ἀλλὰ καὶ παμπόλλους τινὰς εἶναι τοὺς κόσμους ἀπεφαίνοντο, καὶ τῶν ὡς περὶ ἑνὸς αὐτῶν διαλεγομένων κατεγίνωσκον. ἕτερος δέ τις οὐκ εἰρηνικὸς ἀνὴρ, πόλεμον τῶν ὅλων πατέρα ἐδόξαζε. περὶ μὲν γὰρ τῶν θεῶν τί χρὴ καὶ λέγειν; ὅπου τοῖς μὲν, ἀριθμός τις ὁ θεὸς ἦν. οἱ δὲ, κατὰ κυνῶν καὶ χηνῶν καὶ πλατάνων ἐπώμνυντο. καὶ οἱ μὲν, τοὺς ἄλλους ἅπαντας θεοὺς ἀπελάσαντες, ἑνὶ μόνῳ τὴν τῶν ὅλων ἀρχὴν ἀπένεμον. ὥστε ἠρέμα καὶ ἄχθεσθαί με, τοσαύτην ἀπορίαν θεῶν ἀκούοντα. οἱ δὲ ἔμπαλιν ἐπιδαψιλευόμενοι πολλούς τε αὐτοὺς ἀπέφαινον. καὶ διελόμενοι, τὸν μέν τινα, πρῶτον θεὸν ἐπεκάλουν. τοῖς δὲ, τὰ δεύτερα καὶ τρίτα ἔνεμον τῆς θεότητος. ἔτι δὲ. οἱ μὲν, ἀσώματόν τι καὶ ἄμορφον ἡγοῦντο εἶναι τὸ θεῖον. οἱ δὲ, ὡς περὶ σώματος αὐτοῦ διενοοῦντο. εἶτα καὶ προνοεῖν τῶν καθ᾽ ἡμᾶς πραγμάτων οὐ πᾶσιν ἐδόκουν οἱ θεοί. ἀλλ᾽ ἦσάν τινες, οἱ τῆς συμπάσης ἐπιμελείας αὐτοὺς ἀφέντες, ὥσπερ ἡμεῖς εἰώθαμεν ἀπολύειν τῶν λειτουργιῶν τοὺς παρηβηκότας. οὐδὲν γὰρ ὅτι μὴ τοῖς κωμικοῖς δορυφορήμασιν ἐοικότας αὐτοὺς εἰσάγουσιν. ἔνιοι δὲ ταῦτα πάντα ὑπερβάντες, οὐδὲ τὴν ἀρχὴν εἶναι θεούς τινας ἐπίστευον. ἀλλ᾽ ἀδέσποτον καὶ ἀνηγεμόνευτον φέρεσθαι τὸν κόσμον ἀπελίμπανον. Τοιγάρτοι ταῦτα ἀκούων, ἀπιστεῖν μὲν οὐκ ἐτόλμων ὑψιβρεμέταις τε καὶ ἠϋγενείοις ἀνδράσιν. οὐ μὴν εἶχόν γε, ὅπῃ τῶν λόγων τραπόμενος, ἀνεπίληπτόν τι αὐτῶν εὕροιμι, καὶ ὑπὸ θατέρου μηδαμῆ περιτρεπόμενον. ὥστε δὴ τὸ ὁμηρικὸν ἐκεῖνο ἀτεχνῶς ἔπαχον. πολλάκις μὲν γὰρ ἀνώρμησα πιστεύειν τινὶ αὐτῶν. ἕτερος δέ με θυμὸς ἔρυκεν.

Ayuntamiento de Madrid

ἐφ' οἷς ἅπασιν ἀμηχανῶν, ἐπὶ γῆς μὲν ἀκούσεσθαί τι περὶ τούτων ἀληθές, ἀπεγίγνωσκον. μίαν δὲ τῆς συμπάσης ἀπορίας ἀπαλλαγὴν ᾤμην ἔσεσθαι, εἰ αὐτὸς πτερωθείς πως, ἀνέλθοιμι εἰς τὸν οὐρανόν. τούτου δέ μοι παρεῖχε τὴν ἐλπίδα, μάλιστα μὲν καὶ ἡ ἐπιθυμία, καὶ ὁ λογοποιὸς Αἴσωπος, ἀετοῖς καὶ κανθάροις ἐνίοτε, καὶ καμήλοις βάσιμον ἀποφαίνων τὸν οὐρανόν. αὐτὸν μὲν οὖν πτεροφυῆσαί ποτε οὐδεμιᾷ μηχανῇ δυνατὸν εἶναί μοι κατεφαίνετο. εἰ δὲ γυπὸς ἢ ἀετοῦ περιθείμην πτερά, ταῦτα γὰρ μόνα διαρκέσαι πρὸς μέγεθος ἀνθρωπίνου σώματος, τάχα ἄν μοι τὴν πεῖραν προχωρῆσαι. καὶ δὴ συλλαβὼν τὰ ὄρνεα, θατέρου μὲν τὴν δεξιὰν πτέρυγα. τοῦ γυπὸς δὲ τὴν ἑτέραν, ἀπέτεμον εὖ μάλα. εἶτα διαδήσας, καὶ κατὰ τοὺς ὤμους τελαμῶσι καρτεροῖς ἁρμοσάμενος, καὶ πρὸς ἄκροις τοῖς ὠκυπτέροις λαβάς τινας ταῖς χερσὶ παρασκευάσας, ἐπειρώμην ἐμαυτοῦ τὸ πρῶτον, ἀναπηδῶν καὶ ταῖς χερσὶν ὑπηρετῶν, καὶ ὥσπερ οἱ χῆνες ἔτι χαμαιπετῶς ἐπαιρόμενος, καὶ ἀκροβατῶν ἅμα μετὰ τῆς πτήσεως. ἐπεὶ δὲ ὑπήκουέ μοι τὸ πρᾶγμα, τολμηρότερον ἤδη τῆς πείρας ἡπτόμην. καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρόπολιν, ἀφῆκα ἐμαυτὸν κατὰ τοῦ κρημνοῦ φέρων ἐς αὐτὸ τὸ θέατρον. ὡς δὲ ἀκινδύνως κατεπτόμην, ὑψηλὰ ἤδη καὶ μετέωρα ἐφρόνουν. καὶ ἄρας ἀπὸ Πάρνηθος ἢ ἀπὸ Ὑμηττοῦ, μέχρι Γερανείας ἐπετόμην. εἶτ' ἐκεῖθεν ἐπὶ τὸν Ἀκροκόρινθον ἄνω. εἶτα ὑπὲρ Φολόης καὶ Ἐρυμάνθου μέχρι πρὸς τὸν Ταΰγετον. ἤδη δ' οὖν μοι τοῦ τολμήματος μεμελετημένου, τέλειός τε καὶ ὑψιπέτης γενόμενος, οὐκέτι τὰ νεοττῶν ἐφρόνουν. ἀλλ' ἐπὶ τὸν Ὄλυμπον ἀναβάς, καὶ ὡς ἐνῆν μάλιστα κούφως ἐπισιτισάμενος, τὸ λοιπὸν ἔτεινον εὐθὺ τοῦ οὐρανοῦ. τὸ μὲν πρῶτον ἰλιγγιῶν ὑπὸ τοῦ βάθους. μετὰ δέ, ἔφερον καὶ τοῦτο εὐμαρῶς. ἐπεὶ δὲ κατ' αὐτὴν ἤδη τὴν σελήνην ἐγεγόνειν, πάμπολυ τῶν νεφῶν ἀποσπάσας, ᾐσθόμην κάμνοντος ἐμαυτοῦ, καὶ μάλιστα κατὰ τὴν ἀριστερὰν πτέρυγα τὴν γυπίνην. προσελάσας οὖν καὶ καθεζόμενος ἐπ' αὐτῆς διανεπαυόμην, ἐς τὴν γῆν ἄνωθεν ἀποβλέπων. καὶ ὥσπερ ὁ τοῦ Ὁμήρου Ζεὺς ἐκεῖνος, ἄρτι μὲν τὴν τῶν ἱπποπόλων Θρηκῶν καθορώμενος, ἄρτι δὲ τὴν Μυσῶν. μετ' ὀλίγον δέ, εἰ δόξειέ μοι, τὴν Ἑλλάδα. τὴν Περσίδα. καὶ τὴν Ἰνδικήν. ἐξ ὧν ἁπάντων ποικίλης τινὸς ἡδονῆς ἀνεπιμπλάμην. Ἑται. οὐκοῦν καὶ ταῦτα λέγοις ἄν ὦ Μένιππε. ἵνα μηδὲ καθ' ἓν ἀπολειπώμεθα τῆς ἀποδημίας. ἀλλ' εἴ τι σοι καὶ ὁδοῦ πάρεργον ἱστόρηται, καὶ τοῦτο εἰδῶμεν. ὡς ἔγωγε οὐκ ὀλίγα προσδοκῶ ἀκούσεσθαι, χήματος πέρι, γῆς τε καὶ

Ayuntamiento de Madrid

τῶν ἐπ' αὐτῆς ἁπάντων. οἷα σοι ἄνωθεν ἐπισκοποῦντι κατεφαίνετο. Μέ. καὶ ὀρθῶς γὰρ ὦ ἑταῖρε εἰκάζεις. διόπερ ὡς οἷόν τε ἀναβὰς ἐπὶ τὴν σελήνην, τῷ λόγῳ συναποδήμει τε καὶ συνεπισκόπει τὴν ὅλην τῶν ἐπὶ γῆς διάθεσιν. καὶ πρῶτόν γέ μοι πάνυ μικρὰν δόκει τινὰ τὴν γῆν ὁρᾶν. πολὺ λέγω τῆς σελήνης βραχυτέραν. ὥστε ἐγὼ ἄφνω κατακύψας, ἐπὶ πολὺ ἠπόρουν, ποῦ εἴη τὰ τηλικαῦτα ὄρη καὶ ἡ τοσαύτη θάλασσα. καὶ εἴ γε μὴ τὸν ῥοδίων κολοσσὸν ἐθεασάμην, καὶ τὸν ἐπὶ τῇ φάρῳ πύργον, εὖ ἴσθι παντελῶς ἄν με ἡ γῆ διέλαθε. νῦν δέ, ταῦτα ὑψηλὰ ὄντα καὶ ὑπερανεστηκότα, καὶ ὁ ὠκεανὸς ἠρέμα πρὸς τὸν ἥλιον ἀποστίλβων, διεσήμαινέ μοι γῆν εἶναι τὸ ὁρώμενον. ἐπεὶ δὲ ἅπαξ τὴν ὄψιν ἐς τὸ ἀτενὲς ἀπηρεισάμην, ἅπας ὁ τῶν ἀνθρώπων βίος ἤδη μοι κατεφαίνετο. οὐ κατὰ ἔθνη μόνον καὶ πόλεις, ἀλλὰ καὶ αὐτοὶ σαφῶς οἱ πλέοντες. οἱ πολεμοῦντες. οἱ γεωργοῦντες. οἱ δικαζόμενοι. τὰ γύναια. τὰ θηρία. καὶ πάνθ' ἁπλῶς ὁπόσα τρέφει ζείδωρος ἄρουρα. Ἑται. παντελῶς ἀπίθανα φὴς ταῦτα, καὶ αὐτοῖς ὑπεναντία. ὃς γὰρ ἀρτίως ὦ Μένιππε τὴν γῆν ἐζήτεις ὑπὸ τοῦ μεταξὺ διαστήματος ἐς βραχὺ συνεσταλμένην, καὶ εἴ γε μὴ ὁ κολοσσὸς ἐμήνυσέ σοι, τάχα ἂν ἄλλο τι ᾠήθης ὁρᾶν, πῶς νῦν καθάπερ λυγκεύς τις ἄφνω γενόμενος, ἅπαντα γιγνώσκεις τὰ ἐπὶ γῆς. τοὺς ἀνθρώπους. τὰ θηρία. μικροῦ δεῖν τὰς τῶν ἐμπίδων νεοττιάς; Μέ. εὖ με ὑπέμνησας. ὃ γὰρ μάλιστα ἐχρῆν εἰπεῖν, τοῦτο οὐκ οἶδ' ὅπως παρέλιπον. ἐπεὶ γὰρ αὐτὴν μὲν ἐγνώρισα τὴν γῆν ἰδών, τὰ δ' ἄλλα οὐχ οἷός τε ἦν καθορᾶν ὑπὸ τοῦ βάθους, ἅτε τῆς ὄψεως μηκέτι ἐφικνουμένης, πάνυ με ἠνία τὸ χρῆμα, καὶ πολλὴν παρεῖχε τὴν ἀπορίαν. κατηφεῖ δὲ ὄντι μοι καὶ ὀλίγου δεῖν δεδακρυμένῳ, ἐφίσταται κατόπιν ὁ σοφὸς Ἐμπεδοκλῆς, ἀνθρακίας τις ἰδεῖν, καὶ σποδοῦ πλέως καὶ κατωπτημένος. κἀγὼ μὲν ὡς εἶδον, εἰρήσεται γάρ, ὑπεταράχθην, καί τινα σεληναῖον δαίμονα ᾠήθην ὁρᾶν. ὁ δὲ θάρρει φησὶν ὦ Μένιππε. οὔ τίς τοι θεός εἰμι. τί με ἀθανάτοισιν ἐΐσκεις. ὁ φυσικὸς οὗτός εἰμι Ἐμπεδοκλῆς. ἐπεὶ γὰρ εἰς τοὺς κρατῆρας ἐμαυτὸν φέρων ἐνέβαλον, ὁ καπνός με ἀπὸ τῆς Αἴτνης ἀναρπάσας δεῦρο ἀνήγαγε. καὶ νῦν ἐν τῇ σελήνῃ κατοικῶ ἀεροβατῶν τὰ πολλά, καὶ σιτοῦμαι δρόσον. ἥκω τοίνυν σε ἀπολύσων τῆς παρούσης ἀπορίας. ἀνιᾷ γάρ σε οἶμαι, καὶ στρέφει, τὸ μὴ σαφῶς τὰ ἐπὶ γῆς ὁρᾶν. εὖ γε ἐποίησας ἦν δ' ἐγὼ βέλτιστε Ἐμπεδόκλεις. κἀπειδὰν τάχιστα καταπτῶμαι πάλιν ἐς τὴν Ἑλλάδα, μεμνήσομαι

Ayuntamiento de Madrid

σπένδειν τέ σοι ἐπὶ τῆς καπνοδόχης. καὶ ταῖς νουμηνίαις πρὸς τὴν σελήνην τρὶς ἐγχανὼν προσεύχεσθαι. ἀλλὰ μὰ τὸν Ἐνδυμίωνα ἦ δ᾽ ὅς, οὐχὶ τοῦ μισθοῦ χάριν ἀφῖγμαι. πέπονθα δέ τι τὴν ψυχὴν, ἰδών σε λελυπημένον. ἀτὰρ οἶσθα ὅ, τι δράσας ὀξυδερκὴς γενήσῃ; μὰ Δί᾽ ἦν δ᾽ ἐγώ, ἢν μὴ σύ μοι τὴν ἀχλὺν πως ἀφέλῃς ἀπὸ τῶν ὀμμάτων. νῦν γὰρ δὴ λημᾶν οὐ μετρίως δοκῶ. καὶ μὴν οὐδέν γε ἦ δ᾽ ὅς, ἐμοῦ δεήσῃ. τὸ γὰρ ὀξυδερκὲς αὐτὸς ἤδη γῆθεν ἥκεις ἔχων. τί οὖν τοῦτό ἐστιν; οὐ γὰρ οἶδ᾽ ἔφην. οὐκ οἶσθ᾽ ἦ δ᾽ ὅς ἀετοῦ τὴν πτέρυγα τὴν δεξιὰν περικείμενος; καὶ μάλα ἦν δ᾽ ἐγώ. τί οὖν πτέρυγι καὶ ὀφθαλμῷ κοινόν ἐστιν; ὅτι ἦ δ᾽ ὅς, παραπολὺ τῶν ἄλλων ζώων ἀετός ἐστιν ὀξυωπέστατος. ὥστε μόνος ἀντίον δέδορκε τῷ ἡλίῳ. καὶ τοῦτό ἐστιν ὁ βασιλεὺς καὶ γνήσιος ἀετὸς, ἢν ἀσκαρδαμυκτὶ πρὸς τὰς ἀκτῖνας βλέπῃ. φασὶ ταῦτα ἦν δ᾽ ἐγώ. καί μοι ἤδη μεταμέλει, ὅτι δεῦρο ἀνιὼν, οὐχὶ τὼ ὀφθαλμὼ τοῦ ἀετοῦ ἐνεθέμην, τοὺς ἐμοὺς ἐξελών. ὡς νῦν γε ἡμιτελὴς ἀφῖγμαι, καὶ οὐ πάντα βασιλικῶς ἐσκευασμένος. ἀλλ᾽ ἔοικα τοῖς νόθοις ἐκείνοις καὶ ἀποκηρύκτοις. καὶ μὴν παρὰ σοὶ ἦ δ᾽ ὅς αὐτίκα μάλα τὸν ἕτερον ὀφθαλμὸν ἔχειν βασιλικόν. ἢν γὰρ ἐθελήσῃς, μικρὸν ἀναστὰς, ἐπισχὼν τοῦ γυπὸς τὴν πτέρυγα, θατέρᾳ μόνῃ πτερύξασθαι, κατὰ λόγον τῆς πτέρυγος, τὸν δεξιὸν ὀφθαλμὸν ὀξυδερκὴς ἔσῃ. τὸν γὰρ ἕτερον, οὐδεμία μηχανὴ, μὴ οὐκ ἀμβλύτερον δεδορκέναι, τῆς μερίδος ὄντα τῆς χείρονος. ἅλις ἦν δ᾽ ἐγώ, εἰ καὶ ὁ δεξιὸς μόνος ἀετῶδες βλέποι. οὐδὲν γὰρ ἂν ἔλαττον γένοιτο. ἐπεὶ καὶ τοὺς τέκτονας πολλάκις ἑωρακέναι μοι δοκῶ, θατέρῳ τῶν ὀφθαλμῶν ἄμεινον πρὸς τοὺς κανόνας ἀπευθύνοντας τὰ ξύλα. ταῦτα εἰπὼν, ἐποίουν ἅμα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους παρηγγελμένα. ὁ δὲ, κατ᾽ ὀλίγον ὑπαπιὼν, ἐς καπνὸν ἠρέμα διελύετο. κἀπειδὴ τάχιστα ἐπτερυξάμην, αὐτίκα με φῶς πάμπολυ περιέλαμψε. καὶ τὰ τέως λανθάνοντα, πάντα διεφαίνετο. κατακύψας γοῦν ἐς τὴν γῆν, ἑώρων σαφῶς τὰς πόλεις. τοὺς ἀνθρώπους. τὰ γιγνόμενα. καὶ οὐ τὰ ἐν ὑπαίθρῳ μόνον, ἀλλὰ καὶ ὁπόσα οἴκοι ἔπραττον, οἰόμενοι λανθάνειν. Πτολεμαῖον μὲν συνόντα τῇ ἀδελφῇ. Λυσιμάχῳ δὲ, τὸν υἱὸν ἐπιβουλεύοντα. τὸν Σελεύκου δὲ Ἀντίοχον, Στρατονίκῃ διανεύοντα λάθρα τῇ μητρυιᾷ. τὸν δὲ θετταλὸν Ἀλέξανδρον, ὑπὸ τῆς γυναικὸς ἀναιρούμενον. καὶ Ἀντίγονον, μοιχεύοντα τοῦ υἱοῦ τὴν γυναῖκα. καὶ Ἀττάλῳ τὸν υἱὸν ἐγχέοντα φάρμακον. ἑτέρωθι δ᾽ αὖ Ἀρσάκην φονεύοντα τὸ



Ayuntamiento de Madrid

γύναιον. καὶ τὸν εὐνοῦχον Ἀρβάκην ἕλκοντα τὸ ξίφος ἐπὶ τὸν Ἀρσάκην. Σπατῖνος δὲ ὁ μῆδος ἐκ τοῦ συμποσίου πρὸς τῶν δορυφορούντων εἵλκετο ἔξω τοῦ ποδός, σκύφῳ χρυσῷ τὴν ὀφρῦν κατηλοημένος. ὅμοια δὲ τούτοις ἐν τῇ Λυβίῃ καὶ παρὰ Σκύθαις καὶ Θρᾳξὶ γιγνόμενα ἐν τοῖς βασιλείοις ἦν ὁρᾶν, μοιχεύοντας, φονεύοντας, ἐπιβουλεύοντας, ἁρπάζοντας, ἐπιορκοῦντας, δεδιότας, ὑπὸ τῶν οἰκειοτάτων προδιδομένους. καὶ τὰ μὲν τῶν βασιλέων, τοιαύτην παρέσχε μοι τὴν διατριβήν. τὰ δὲ τῶν ἰδιωτῶν πολὺ γελοιότερα. καὶ γὰρ αὖ κἀκείνους ἑώρων. Ἑρμόδωρον μὲν τὸν ἐπικούρειον, χιλίων ἕνεκα δραχμῶν ἐπιορκοῦντα. τὸν στωϊκὸν δὲ Ἀγαθοκλέα, περὶ μισθῶν τῷ μαθητῇ δικαζόμενον. Κλεινίαν δὲ τὸν ῥήτορα, ἐκ τοῦ ἀσκληπιείου φιάλην ὑφαιρούμενον. τὸν δὲ κυνικὸν Ἡρόφιλον, ἐν τῷ χαμαιτυπείῳ καθεύδοντα. τί γὰρ ἂν τοὺς ἄλλους λέγοιμι, τοὺς τοιχωρυχοῦντας, τοὺς δικαζομένους, τοὺς δανείζοντας, τοὺς ἀπαιτοῦντας; ὅλως γὰρ ποικίλη καὶ παντοδαπή τις ἦν ἡ θέα. Ἑταῖ. καὶ μὴν καὶ ταῦτα ὦ Μένιππε καλῶς εἶχε λέγειν. ἔοικε γὰρ οὐ τὴν τυχοῦσαν τερπωλήν σοι παρεσχῆσθαι. Με. πάντα μὲν ἑξῆς διελθεῖν ὦ φιλότης ἀδύνατον. ὅπου γε καὶ ὁρᾶν αὐτὰ ἔργον δυσχερὲς ἦν. τὰ μέντοι κεφάλαια τῶν πραγμάτων τοιαῦτα ἐφαίνετο, οἷά φησιν Ὅμηρος τὰ ἐπὶ τῆς ἀσπίδος. οὗ μὲν γὰρ ἦσαν εἰλαπίναι καὶ γάμοι. ἑτέρωθι δὲ δικαστήρια καὶ ἐκκλησίαι. καθέτερον δὲ μέρος, ἔθυέ τις. ἐν γειτόνων δέ, πενθῶν ἄλλος ἐφαίνετο. καὶ ὅτε μὲν ἐς τὴν Γετικὴν ἀποβλέψαιμι, πολεμοῦντας ἂν ἑώρων τοὺς Γέτας. ὅτε δὲ μεταβαίην ἐπὶ τοὺς Σκύθας, πλανωμένους ἐπὶ τῶν ἁμαξῶν ἦν ἰδεῖν. μικρὸν δὲ ἐπικλίνας τὸν ὀφθαλμὸν ἐπὶ θάτερα, τοὺς Αἰγυπτίους γεωργοῦντας ἐπέβλεπον. καὶ ὁ Φοῖνιξ δὲ ἐνεπορεύετο. καὶ ὁ Κίλιξ ἐλήστευε. καὶ ὁ Λάκων ἐμαστιγοῦτο. καὶ ὁ Ἀθηναῖος ἐδικάζετο. ἁπάντων τούτων ὑπὸ τὸν αὐτὸν γινομένων χρόνον ὥρα σοι ἤδη ἐπινοεῖν, ὁποῖός τις ὁ κυκεὼν οὗτος ἐφαίνετο. ὥσπερ ἂν εἴ τις παραστησάμενος πολλοὺς χορευτάς, μᾶλλον δὲ πολλοὺς χορούς, ἔπειτα προστάξειε τῶν ᾀδόντων ἑκάστῳ, τὴν συνῳδίαν ἀφέντα, ἴδιον ᾄδειν μέλος. φιλοτιμουμένου δὲ ἑκάστου, καὶ τὸ ἴδιον περαίνοντος, καὶ τὸν πλησίον ὑπερβαλέσθαι τῇ μεγαλοφωνίᾳ προθυμουμένου, ἆρα ἐνθυμῇ πρὸς διός, οἵα γένοιτ' ἂν ἡ ᾠδή; Ἑταῖ. παντάπασιν ὦ Μένιππε παγγέλοιος καὶ τεταραγμένη. Με. καὶ μὴν ὦ ἑταῖρε, τοιοῦτοι πάντες εἰσὶν οἱ ἐπὶ γῆς χορευταί. κἀκ τοιαύτης ἀναρμοστίας ὁ τῶν ἀνθρώπων βίος συντέτακται, οὐ μόνον ἀπῳδὰ φθεγγομένων, ἀλλὰ καὶ ἀνομοίων τὰ σχήματα, καὶ τἀναντία κινου=

Ayuntamiento de Madrid

μένων, καὶ ταὐτὸν οὐδὲν ἐπινοούντων, ἄχρις ἂν αὐτῶν ἕκαστον ὁ χορηγὸς ἀπελάσῃ τῆς σκηνῆς, οὐκέτι δεῖσθαι λέγων. τοὐντεῦθεν δὲ, ὅμοιοι πάντες ἤδη σιωπῶντες, οὐκέτι τὴν συμμιγῆ ἐκείνην καὶ ἄτακτον ᾠδὴν ἀπᾴδοντες. ἀλλ᾽ ἐν αὐτῷ γε τῷ ποικίλῳ καὶ πολυειδεῖ τῷ θεάτρῳ, πάντα μὲν γελοῖα δήπουθεν ἦν τὰ γιγνόμενα. μάλιστα δὲ ἐπ᾽ ἐκείνοις ἐπῄει μοι γελᾶν, τοῖς περὶ γῆς ὅρων ἐρίζουσι, καὶ τοῖς μεγαφρονοῦσιν ἐπὶ τῷ τὸ Σικυώνιον πεδίον γεωργεῖν, ἢ Μαραθῶνος ἔχειν τὰ περὶ τὴν Οἰνόην, ἢ Ἀχαρνῆσι πλέθρα κεκτῆσθαι χίλια. τῆς γοῦν Ἑλλάδος ὅλης, ὡς τότε μοι ἄνωθεν ἐφαίνετο, δακτύλων οὔσης τὸ μέγεθος τεττάρων, κατὰ λόγον οἶμαι ἡ Ἀττικὴ πολλοστημόριον ἦν. ὥστε ἐνενόουν, ἐφ᾽ ὁπόσῳ τοῖς πλουσίοις τούτοις μεγαφρονεῖν κατελείπετο. σχεδὸν γὰρ ὁ πολυπλεθρότατος αὐτῶν μίαν τῶν ἐπικουρείων ἀτόμων ἐδόκει μοι γεωργεῖν. ἀποβλέψας δὲ δὴ καὶ εἰς τὴν Πελοπόννησον, εἶτα τὴν Κυνοσουρίαν γῆν ἰδὼν, ἀνεμνήσθην, περὶ ὅσου χωρίου κατ᾽ οὐδὲν φακοῦ αἰγυπτίου πλατυτέρου, τοσοῦτοι ἔπεσον Ἀργείων καὶ Λακεδαιμονίων μιᾶς ἡμέρας. καὶ μὴν εἴ τινα ἴδοιμι ἐπὶ χρυσῷ μεγαφρονοῦντα, ὅτι δακτυλίους τε εἶχεν ὀκτὼ, καὶ φιάλας τέτταρας, πάνυ καὶ ἐπὶ τούτῳ ἂν ἐγέλων. τὸ γὰρ Πάγγαιον ὅλον αὐτοῖς μετάλλοις κεγχριαῖον ἦν τὸ μέγεθος. Ἑται. ὦ μακάριε Μένιππε τῆς παραδόξου θέας. αἱ δὲ δὴ πόλεις πρὸς Διὸς, καὶ οἱ ἄνδρες αὐτοὶ πηλίκοι διεφαίνοντο ἄνω; Μέ. οἶμαί σε πολλάκις ἤδη μυρμήκων ἀγορὰν ἑωρακέναι. τοὺς μὲν, εἰλουμένους. ἐνίους δὲ, ἐξιόντας. ἑτέρους δὲ, ἐπανιόντας αὖθις εἰς τὴν πόλιν. καὶ ὁ μέν τις, τὴν κόπρον ἐκφέρει. ὁ δὲ, ἁρπάσας ποθὲν ἢ κυάμου λέπος, ἢ πυροῦ ἡμίτομον, θεῖ φέρων. εἰκὸς δὲ εἶναι παρ᾽ αὐτοῖς κατὰ λόγον τοῦ μυρμήκων βίου, καὶ οἰκοδόμους τινὰς, καὶ δημαγωγοὺς, καὶ πρυτάνεις, καὶ μουσικοὺς, καὶ φιλοσόφους. πλὴν αἵ γε πόλεις αὐτοῖς ἀνδράσι ταῖς μυρμηκίαις μάλιστα ἐῴκεσαν. εἰ δέ σοι δοκεῖ μικρὸν τὸ παράδειγμα τὸ ἀνθρώπους εἰκάσαι τῇ μυρμήκων πολιτείᾳ, τοὺς παλαιοὺς μύθους ἐπίσκεψαι τῶν Θετταλῶν. εὑρήσεις γὰρ τοὺς Μυρμιδόνας, τὸ μαχιμώτατον φῦλον, ἐκ μυρμήκων ἄνδρας γεγονότας. ἐπειδὴ δὲ οὖν πάντα ἱκανῶς ἑωρᾶτο καὶ κατεγέλαστό μοι, διασείσας ἐμαυτὸν, ἀνεπτόμην δώματ᾽ ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους. οὔπω στάδιον ἀνεληλύθειν, καὶ ἡ σελήνη γυναικείαν φωνὴν προϊεμένη, Μένιππε φησιν, οὕτως ὄναιο, διακόνησαί μοί τι πρὸς τὸν Δία. λέγοις ἂν ἦν δ᾽ ἐγώ. βαρὺ γὰρ οὐδὲν ἦν μή τι φέρειν δέῃ.



Ayuntamiento de Madrid

πρεσβείαν ἔφη τινὰ οὐ χαλεπὴν καὶ δέησιν ἀπενέγκαι παρ' ἐμοῦ τῷ διΐ. ἀπείρηκα γὰρ ὦ Μένιππε πολλὰ καὶ δεινὰ παρὰ τῶν φιλοσόφων ἀκούουσα. οἷς οὐδέν ἕτερόν ἐστιν ἔργον, ἢ τἀμὰ πολυπραγμονεῖν. τίς εἰμί, καὶ πηλίκη, ἢ καὶ δι' ἥντινα αἰτίαν διχότομος ἢ ἀμφίκυρτος γίγνομαι. καὶ οἱ μέν, κατοικεῖσθαί τε μέ φασιν. οἱ δέ, κατόπτρου δίκην ἐπικρέμασθαι τῇ θαλάσσῃ. οἱ δέ, ὅ, τι ἂν ἕκαστος ἐπινοήσῃ, τοῦτο μοι προσάπτουσι. τὰ τελευταῖα δέ, καὶ τὸ φῶς αὐτὸ κλοπιμαῖόν τε καὶ νόθον εἶναί φασί μοι, ἄνωθεν ἧκον παρὰ τοῦ ἡλίου. καὶ οὐ παύονται, καὶ πρὸς τοῦτόν με ἀδελφὸν ὄντα μου, συγκροῦσαι καὶ στασιάσαι προαιρούμενοι. οὐ γὰρ ἱκανὰ ἦν αὐτοῖς ἃ περὶ αὐτοῦ εἰρήκασι τοῦ ἡλίου, λίθον αὐτὸν εἶναι καὶ μύδρον διάπυρον. καίτοι πόσα ἐγὼ συνεπίσταμαι αὐτοῖς, ἃ πράττουσι τῶν νυκτῶν αἰσχρὰ καὶ κατάπτυστα, οἱ μεθ' ἡμέραν σκυθρωποὶ καὶ ἀνδρώδεις τὸ βλέμμα, καὶ τὸ σχῆμα σεμνοί, καὶ ὑπὸ τῶν ἰδιωτῶν ἀποβλεπόμενοι. κἀγὼ μὲν ταῦτα ὁρῶσα, ὅμως σιωπῶ. οὐ γὰρ ἡγοῦμαι πρέπειν ἀποκαλύψαι καὶ διαφωτίσαι τὰς νυκτερινὰς ἐκείνας διατριβάς, καὶ τὸν ἐπὶ τῆς σκηνῆς ἑκάστου βίον. ἀλλὰ κἄντινα ἴδω αὐτῶν μοιχεύοντα, ἢ κλέπτοντα, ἢ ἄλλο τι τολμῶντα νυκτερινώτατον, εὐθὺς ἐπισπασαμένη τὸ νέφος, ἐνεκαλυψάμην. ἵνα μὴ δείξω τοῖς πολλοῖς, γέροντας ἄνδρας βαθεῖ πώγωνι καὶ ἀρετῇ ἐνασχημονοῦντας. οἱ δέ, οὐδὲν ἀνιᾶσι διασπαράττοντές με τῷ λόγῳ, καὶ πάντα τρόπον ὑβρίζοντες. ὥστε νὴ τὴν νύκτα, πολλάκις ἐβουλευσάμην μετοικῆσαι ὅτι πορρωτάτω, ἵνα αὐτῶν τὴν περίεργον ἂν γλῶτταν διέφυγον. μέμνησο οὖν ταῦτά γε ἀπαγγεῖλαι τῷ διΐ. καὶ προσθεῖναι δ' ὅτι μὴ δυνατόν ἐστί μοι κατὰ χώραν μένειν, ἢν μὴ τοὺς φυσικοὺς ἐκείνους ἐπιτρίψῃ, καὶ τοὺς διαλεκτικοὺς ἐπιστομίσῃ, καὶ τὴν στοὰν κατασκάψῃ, καὶ τὴν ἀκαδημίαν καταφλέξῃ, καὶ παύσῃ τὰς ἐν περιπάτῳ διατριβάς. οὕτω γὰρ ἂν εἰρήνην ἄγοιμι, ὁσημέραι πρὸς αὐτῶν γεωμετρουμένη. ἔσται ταῦτα ἦν δ' ἐγώ. καὶ ἅμα πρὸς τὸ ἄναντες ἔτεινον τὴν ἐπὶ τοῦ οὐρανοῦ. ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα. μετ' ὀλίγον γὰρ καὶ ἡ σελήνη βραχεῖά μοι καθεωρᾶτο, καὶ τὴν γῆν ἤδη ἀπέκρυπτε. λαβὼν δὲ τὸν ἥλιον ἐν τῇ δεξιᾷ, διὰ τῶν ἀστέρων πετόμενος, τριταῖος ἐπλησίασα τῷ οὐρανῷ. καὶ τὸ μὲν πρῶτον, ἐδόκει μοι ὡς εἶχον εὐθύς, εἴσω παριέναι. ῥαδίως γὰρ ᾤμην διαλαθεῖν, ἅτε ἐξ ἡμισείας ὢν ἀετός. τὸν δὲ ἀετὸν ἠπιστάμην ἐκ παλαιοῦ συνήθη τῷ διΐ.

Ayuntamiento de Madrid

ὕστερον δὲ ἐλογισάμην, ὡς τάχιστα καταφωράσουσί με, γυπὸς τὴν ἑτέραν πτέρυγα περικείμενον. ἄριστον γοῦν κρίνας τὸ μὴ παρακινδυνεύειν, ἔκοπτον προσελθὼν τὴν θύραν. ἐπακούσας δὲ ὁ Ἑρμῆς, καὶ τοὔνομα ἐκπυθόμενος, ἀπήει κατὰ σπουδὴν φράσων τῷ διΐ. καὶ μετ' ὀλίγον εἰσεκλήθην, πάνυ δεδιὼς καὶ τρέμων. καταλαμβάνω τε πάντας ἅμα συγκαθημένους, οὐδὲ αὐτοὺς ἀφρόντιδας. ὑπετάραττε γὰρ ἡσυχῆ τὸ παράδοξόν μου τῆς ἐπιδημίας. καὶ ὅσον οὐδέπω πάντας ἀνθρώπους ἀφίξεσθαι προσεδόκων, τὸν αὐτὸν τρόπον ἐπτερωμένους. ὁ δὲ Ζεύς, μάλα φοβερῶς δριμύ τε καὶ τιτανῶδες εἰς ἐμὲ ἀπιδών, φησι. τίς, πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις, ἠδὲ τοκῆες; ἐγὼ δὲ ὡς τοῦτο ἤκουσα, μικροῦ μὲν ἐξέθανον ὑπὸ τοῦ δέους. εἱστήκειν δὲ ὅμως ἀχανής, καὶ ὑπὸ τῆς μεγαλοφωνίας ἐμβεβροντημένος. χρόνῳ δὲ ἐμαυτὸν ἀναλαβών, ἅπαντα διηγούμην σαφῶς, ἄνωθεν ἀρξάμενος. ὡς ἐπιθυμήσαιμι τὰ μετέωρα ἐκμαθεῖν. ὡς ἔλθοιμι παρὰ τοὺς φιλοσόφους. ὡς τἀναντία λεγόντων ἀκούσαιμι. ὡς ἀπαγορεύσαιμι διασπώμενος ὑπὸ τῶν λόγων. εἶτα ἑξῆς τὴν ἐπίνοιαν καὶ τὰ πτερά, καὶ τἆλλα πάντα μέχρι πρὸς τὸν οὐρανόν. ἐπὶ πᾶσι δὲ προσέθηκα τὰ ὑπὸ τῆς σελήνης ἐπεσταλμένα. μειδιάσας δ' οὖν ὁ Ζεύς, καὶ μικρὸν ἐπανεὶς τῶν ὀφρύων, τί ἂν λέγοις φησὶν Ὦτου πέρι καὶ Ἐφιάλτου, ὅπου καὶ Μένιππος ἐτόλμησεν ἐς τὸν οὐρανὸν ἀνελθεῖν; ἀλλὰ νῦν μὲν ἐπὶ ξένια σε καλοῦμεν. αὔριον δὲ ἔφη, περὶ ὧν ἥκεις χρηματίσαντες, ἀποπέμψομεν. καὶ ἅμα ἐξαναστάς, ἐβάδιζεν ἐς τὸ ἐπηκοώτατον τοῦ οὐρανοῦ. καιρὸς γὰρ ἦν ἐπὶ τῶν εὐχῶν καθέζεσθαι. μεταξύ τε προϊών, ἀνέκρινέ με περὶ τῶν ἐν τῇ γῇ πραγμάτων. τὰ πρῶτα μὲν ἐκεῖνα. πόσου νῦν ὁ πυρός ἐστιν ὤνιος ἐπὶ τῆς Ἑλλάδος. καὶ εἰ σφόδρα ὑμῶν ὁ πέρυσι χειμὼν καθίκετο. καὶ εἰ τὰ λάχανα δεῖται πλείονος ἐπομβρίας. μετὰ δέ, ἠρώτα. εἴ τις ἔτι λείπεται τῶν ἀπὸ φειδίου. καὶ δι' ἣν αἰτίαν ἐλλίποιεν Ἀθηναῖοι τὰ διάσια τοσούτων ἐτῶν. καὶ εἰ τὸ ὀλύμπιον αὐτῶν ἐπιτελέσαι διανοοῦνται. καὶ εἰ συνελήφθησαν οἱ τὸν ἐν Δωδώνη νεὼν σεσυληκότες. ἐπεὶ δὲ περὶ τούτων ἀπεκρινάμην, εἰπέ μοι Μένιππε ἔφη. περὶ δὲ ἐμοῦ οἱ ἄνθρωποι τίνα γνώμην ἔχουσι. τίνα ἔφην δέσποτα, ἢ τὴν εὐσεβεστάτην, βασιλέα σε εἶναι πάντων θεῶν. παίζεις ἔχων ἔφη. τὸ δὲ φιλόκαινον αὐτῶν, ἀκριβῶς οἶδα, κἂν μὴ λέγῃς. ἦν γάρ ποτε χρόνος, ὅτε καὶ μάντις ἐδόκουν αὐτοῖς, καὶ



Ayuntamiento de Madrid

ἰατρός. καὶ πάντα ὅλως ἦν ἐγώ. μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί. καὶ ἡ Δωδώνη τε καὶ ἡ Πίσα λαμπραὶ
καὶ περίβλεπτοι πᾶσιν ἦσαν. ὑπὸ δὲ τοῦ καπνοῦ τῶν θυσιῶν, οὐδὲ
ἀναβλέπειν μοι δυνατόν. ἐξ οὗ δὲ ἐν Δελφοῖς μὲν Ἀπόλλων τὸ μαν-
τεῖον κατεστήσατο, ἐν Περγάμῳ δὲ τὸ ἰατρεῖον ὁ Ἀσκληπιός. καὶ τὸ
Βενδίδειον ἐγένετο ἐν Θρᾴκῃ. καὶ τὸ Ἀνουβείδιον ἐν Αἰγύπτῳ. καὶ
τὸ Ἀρτεμίσιον ἐν Ἐφέσῳ, ἐπὶ ταῦτα μὲν ἅπαντες θέουσι, καὶ πα-
νηγύρεις ἀνάγουσι, καὶ ἑκατόμβας παριστᾶσι. ἐμὲ δέ, ὥσπερ παρη-
βηκότα ἱκανῶς τετιμηκέναι νομίζουσιν, ἂν διὰ πέντε ὅλων ἐτῶν θύ-
σωσιν ἐν ὀλυμπίᾳ. τοιγαροῦν ψυχροτέρους ἄν μου τοὺς βωμοὺς ἴδοις
τῶν Πλάτωνος νόμων, ἢ τῶν Χρυσίππου συλλογισμῶν. τοιαῦθ' ἅμα
διεξιόντες, ἀφικνούμεθα ἐς τὸ χωρίον, ἔνθα ἔδει αὐτὸν καθεζόμενον δι-
ακοῦσαι τῶν εὐχῶν. θυρίδες δὲ ἦσαν ἑξῆς τοῖς στομίοις τῶν φρεάτων
ἐοικυῖαι, πώματα ἔχουσαι. καὶ παρ' ἑκάστῃ θρόνος ἔκειτο χρυσοῦς.
καθίσας οὖν ἑαυτὸν ἐπὶ τῆς πρώτης ὁ Ζεύς, καὶ ἀφελὼν τὸ πῶμα,
παρεῖχε τοῖς εὐχομένοις ἑαυτόν. ηὔχοντο δὲ πανταχόθεν τῆς γῆς διά-
φορα καὶ ποικίλα. συμπαρακύψας γὰρ καὶ αὐτός, ἐπήκουον ἅμα τῶν εὐ-
χῶν. ἦσαν δὲ τοιαίδε. ὦ Ζεῦ, βασιλεῦσαί μοι γένοιτο. ὦ Ζεῦ, τὰ κρόμμυά
μοι φῦναι καὶ τὰ σκόροδα. ὦ Ζεῦ, τὸν πατέρα μοι ταχέως ἀποθανεῖν. ὁ δέ
τις ἂν φαίη, εἴθε κληρονομήσαιμι τῆς γυναικός, εἴθε λάθοιμι ἐπιβουλεύ-
σας τῷ ἀδελφῷ. γένοιτό μοι νικῆσαι τὴν δίκην, στεφθῆναι τὰ ὀλύμπια.
τῶν πλεόντων δέ, ὁ μέν, βορέαν ηὔχετο ἐπιπνεῦσαι. ὁ δέ, νότον. ὁ δὲ γε-
ωργός, ᾔτει ὑετόν. ὁ δὲ κναφεύς, ἥλιον. ἐπακούων δὲ ὁ Ζεύς, καὶ τὴν εὐ-
χὴν ἑκάστην ἀκριβῶς ἐξετάζων, οὐ πάντα ὑπισχνεῖτο. ἀλλ' ἕτερον μὲν
ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευε. τὰς μὲν γὰρ δικαίας τῶν εὐχῶν, προ-
σίετο ἄνω διὰ τοῦ στομίου, καὶ ἐπὶ τὰ δεξιὰ κατετίθει φέρων. τὰς δὲ
ἀνοσίους, ἀπράκτους αὖθις ἀπέπεμπεν ἀποφυσῶν κάτω, ἵνα μὴ δὲ
πλησίον γένοιντο τοῦ οὐρανοῦ. ἐπὶ μιᾶς δέ τινος εὐχῆς καὶ ἀποροῦντα
αὐτὸν ἐθεασάμην. δύο γὰρ ἀνδρῶν τἀναντία εὐχομένων, καὶ τὰς ἴσας
θυσίας ὑπισχνουμένων, οὐκ εἶχεν ὁποτέρῳ μᾶλλον ἐπινεύσειεν αὐτῶν.
ὥστε δὴ τὸ ἀκαδημαϊκὸν ἐκεῖνο ἐπεπόνθει, καὶ οὐδέν τι ἀποφήνασθαι
δυνατὸς ἦν. ἀλλ' ὥσπερ ὁ Πύῤῥων, ἐπεῖχεν ἔτι καὶ διεσκέπτετο.
ἐπεὶ δὲ ἱκανῶς ἐχρημάτισε ταῖς εὐχαῖς, ἐπὶ τὸν ἑξῆς μεταβὰς θρό-

Ayuntamiento de Madrid

τον, καὶ τὴν δευτέραν θυρίδα, κατακύψας, τοῖς ὅρκοις ἐσχόλαζε καὶ τοῖς ὀμνύουσι. χρηματίσας δὲ καὶ τούτοις, καὶ τὸν ἐπικούρειον Ἑρμόδωρον ἐπιτρίψας, μετεκαθέζετο ἐπὶ τὸν ἑξῆς θρόνον, κληδόσι καὶ φήμαις καὶ οἰωνοῖς προσέξων. εἶτ' ἐκεῖθεν ἐπὶ τὴν τῶν θυσιῶν θυρίδα μετῄει. δι' ἧς ὁ καπνὸς ἀνιών, ἀπήγγελλε τῷ διῒ τοῦ θύοντος ἑκάστου τοὔνομα. ἀποστὰς δὲ τούτων, προσέταττε τοῖς ἀνέμοις καὶ ταῖς ὥραις, ἃ δεῖ ποιεῖν. τήμερον παρὰ Σκύθαις ὑέτω. παρὰ Λίβυσιν ἀστραπτέτω. παρ' Ἕλλησι νιφέτω. σὺ δὲ ὁ Βορέας, πνεῦσον ἐν Λυδίᾳ. σὺ δὲ ὁ νότος ἡσυχίαν ἄγε. ὁ δὲ ζέφυρος τὸν Ἀδρίαν διακυμαινέτω. καὶ τῆς χαλάζης ὅσον μέδιμνοι χίλιοι διασκεδασθήτωσαν ὑπὲρ Καππαδοκίας. ἁπάντων δὲ ἤδη σχεδὸν αὐτῷ διῳκημένων, ἀπῄειμεν ἐς τὸ συμπόσιον. δείπνου γὰρ ἤδη καιρὸς ἦν. καί με ὁ Ἑρμῆς παραλαβών, κατέκλινε παρὰ τὸν Πᾶνα καὶ τοὺς Κορύβαντας καὶ τὸν Ἄττιν καὶ τὸν Σαβάζιον, τοὺς μετοίκους τούτους καὶ ἀμφιβόλους θεούς. καὶ ἄρτον δὲ ἡ Δημήτηρ παρεῖχε, καὶ ὁ Διόνυσος οἶνον, καὶ ὁ Ἡρακλῆς κρέα, καὶ μύρτα ἡ Ἀφροδίτη, καὶ ὁ Ποσειδῶν μαινίδας. ἅμα δὲ καὶ τῆς ἀμβροσίας ἠρέμα, καὶ τοῦ νέκταρος παρεγευόμην. ὁ γὰρ βέλτιστος Γανυμήδης ὑπὸ φιλανθρωπίας, εἰ θεάσαιτο ἀποβλέποντά ποι τὸν Δία, κοτύλην ἄν, ἢ καὶ δύο τοῦ νέκταρος ἐνέχει μοι φέρων. οἱ δὲ θεοί, ὡς Ὅμηρός που λέγει, καὶ αὐτὸς οἶμαι καθάπερ ἐγὼ τἀκεῖ τεθεαμένος, οὔτε σῖτον ἔδουσιν, οὔτε πίνουσιν αἴθοπα οἶνον. ἀλλὰ τὴν ἀμβροσίαν παρατίθενται καὶ τοῦ νέκταρος μεθύσκονται. μάλιστα δὲ ἥδονται σιτούμενοι τὸν ἐκ τῶν θυσιῶν καπνὸν αὐτῇ κνίσῃ ἀνηνεγμένον, καὶ τὸ αἷμα δὲ τῶν ἱερείων, ὃ τοῖς βωμοῖς οἱ θύοντες περιχέουσιν. ἐν δὲ τῷ δείπνῳ, ὅ, τε Ἀπόλλων ἐκιθάρισε. καὶ ὁ Σειληνὸς κόρδακα ὠρχήσατο. καὶ αἱ μοῦσαι ἀναστᾶσαι, τῆς τε Ἡσιόδου θεογονίας ᾖσαν ἡμῖν, καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τοῦ Πινδάρου. κἀπειδὴ κόρος ἦν, ἀνεπαυόμεθα ὡς εἶχεν ἕκαστος, ἱκανῶς ὑποβεβρεγμένοι. ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί, εὗδον παννύχιοι, ἐμὲ δ' οὐκ εἶχε νήδυμος ὕπνος. ἀνελογιζόμην γὰρ πολλὰ μὲν καὶ ἄλλα, μᾶλλον δὲ ἐκεῖνα. πῶς ἐν τοσούτῳ χρόνῳ ὁ Ἀπόλλων οὐ φύει πώγωνα. ἢ πῶς γίνεται νὺξ ἐν οὐρανῷ, τοῦ ἡλίου παρόντος ἀεὶ καὶ συνευωχουμένου. τότε μὲν οὖν μικρόν τι κατέδαρθον. ἕωθεν

Ayuntamiento de Madrid

δὲ διαναστὰς ὁ Ζεὺς, προσέταττε κηρύττειν ἐκκλησίαν. κἀπειδὴ παρῆσαν ἅπαντες, ἄρχεται λέγειν. Τὴν μὲν αἰτίαν τοῦ ξυναγαγεῖν ὑμᾶς ὁ χθιζὸς οὗτος ξένος παρέχηται. πάλαι δὲ βουλόμενος ὑμῖν κοινώσασθαι περὶ τῶν φιλοσόφων, μάλιστά γε ὑπὸ τῆς σελήνης, καὶ ὧν ἐκείνη μέμφεται προτραπεὶς, ἔγνων μηκέτ᾽ ἐπὶ πλεῖον παρατεῖναι τὴν διάσκεψιν. γένος γάρ τι ἀνθρώπων ἐστὶν, οὐ πρὸ πολλοῦ τῷ βίῳ ἐπιπολάζον, ἀργόν. φιλόνεικον. κενόδοξον. ὀξύχολον. ὑπόλιχνον. ὑπόμωρον τετυφωμένον. ὕβρεως ἀνάπλεων. καὶ ἵνα καθ᾽ Ὅμηρον εἴπω, ἐτώσιον ἄχθος ἀρούρης. οὗτοι τοίνυν εἰς συστήματα διαιρεθέντες, καὶ διαφόρους λόγων λαβυρίνθους ἐπινοήσαντες. οἱ μὲν, στωϊκοὺς ὠνομάκασιν. οἱ δὲ, ἀκαδημαϊκούς. οἱ δὲ ἐπικουρείους. οἱ δὲ, περιπατητικούς. καὶ ἄλλα πολλὰ γελοιότερα τούτων. ἔπειτα δὲ ὄνομα σεμνὸν τὴν ἀρετὴν περιθέμενοι, καὶ τὰς ὀφρῦς ἐπάραντες, καὶ πώγωνας ἐπισπασάμενοι, περιέρχονται ἐπιπλάστῳ σχήματι κατάπτυστα ἤθη περιστέλλοντες, ἐοικότες μάλιστα τοῖς τραγικοῖς ἐκείνοις ὑποκριταῖς. ὧν ἢν ἀφέλῃς τὰ προσωπεῖα καὶ τὴν χρυσόπαστον ἐκείνην στολὴν, τὸ καταλειπόμενόν ἐστι γελοῖον ἀνθρώπιον ἑπτὰ δραχμῶν ἐς τὸν ἀγῶνα μεμισθωμένον. τοιοῦτοι δὲ ὄντες, ἀνθρώπων μὲν ἁπάντων καταφρονοῦσι. περὶ θεῶν δὲ, ἀλλόκοτα διεξέρχονται. καὶ συνάγοντες εὐεξαπάτητα μειράκια, τήν τε πολυθρύλλητον ἀρετὴν τραγῳδοῦσι, καὶ τὰς τῶν λόγων ἀπορίας ἐκδιδάσκουσι. καὶ πρὸς τοὺς μὲν μαθητὰς, καρτερίαν ἀεὶ καὶ σωφροσύνην ἐπαινοῦσι, καὶ πλούτου καὶ ἡδονῆς καταπτύουσι. μόνοι δὲ καὶ καθ᾽ ἑαυτοὺς γενόμενοι, τί ἂν λέγοι τις, ὅσα μὲν ἐσθίουσιν, ὅσα δὲ ἀφροδισιάζουσιν, ὅπως δὲ περιλείχουσι τῶν ὀβολῶν τὸν ῥύπον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲν αὐτοὶ μήτε κοινὸν μήτε ἴδιον ἐπιτελοῦντες, ἀλλ᾽ ἀχρεῖοι καὶ περιττοὶ καθεστῶτες, οὔτε ποτ᾽ ἐν πολέμῳ ἐναρίθμιοι, οὔτ᾽ ἐνὶ βουλῇ, ὅμως τῶν ἄλλων κατηγοροῦσι. καὶ λόγους τινὰς πικροὺς συμφορήσαντες, καὶ λοιδορίας τινὰς ἐμμεμελετηκότες, ἐπιτιμῶσι καὶ λοιδοροῦσι τοῖς πλησίον. καὶ οὗτος αὐτῶν τὰ πρῶτα φέρεσθαι δοκεῖ, ὃς ἂν μεγαλοφωνότατός τε ᾖ, καὶ ἰταμώτατος, καὶ πρὸς τὰς βλασφημίας θρασύτατος. καίτοι τὸν διατεινόμενον αὐτῶν καὶ βοῶντα καὶ κατηγοροῦντα τῶν ἄλλων, ἢν ἔρῃ. σὺ δὲ δὴ τί πράττων τυγχάνεις, ἢ τί φῶμεν πρὸς θεῶν σε πρὸς τὸν βίον συντελεῖν; φαίη ἂν, εἰ τὰ δίκαια καὶ ἀληθῆ θέλοι λέγειν, ὅτι

Ayuntamiento de Madrid

πλεῖν μὲν, ἢ γεωργεῖν ἢ στρατεύεσθαι, ἤ τινα τέχνην μετιέναι, περιττὸν εἶναί μοι δοκεῖ. κέκραγα δὲ καὶ αὐχμῶ. καὶ ψυχρολουτῶ. καὶ ἀνυπόδετος τοῦ χειμῶνος περιέρχομαι. καὶ ὥσπερ ὁ Μῶμος, τὰ ὑπὸ τῶν ἄλλων γιγνόμενα συκοφαντῶ. καὶ εἰ μέν τις ὠψώνηκε τῶν πλουσίων πολυτελῶς, ἢ ἑταίραν ἔχει, τοῦτο πολυπραγμονῶ καὶ ἀγανακτῶ. εἰ δὲ τῶν φίλων τις ἢ ἑταίρων κατάκειται νοσῶν ἐπικουρίας τε καὶ θεραπείας δεόμενος, ἀγνοῶ. τοιαῦτα μέν ἐστιν ἡμῖν ὦ θεοὶ ταῦτα τὰ θρέμματα. οἱ δὲ δὴ ἐπικούρειοι αὐτῶν λεγόμενοι, μάλα δὴ καὶ ὑβρισταί εἰσι, καὶ οὐ μετρίως ἡμῶν καθάπτονται, μήτε ἐπιμελεῖσθαι τῶν ἀνθρωπίνων λέγοντες τοὺς θεοὺς, μήτε ὅλως τὰ γιγνόμενα ἐπισκοπεῖν. ὥστε ὥρα ὑμῖν λογίζεσθαι. διότι ἢν ἅπαξ οὗτοι πεῖσαι τὸν βίον δυνηθῶσιν, οὐ μετρίως πεινήσετε. τίς γὰρ ἂν ἔτι θύσειεν ὑμῖν, πλέον οὐδὲν ἕξειν προσδοκῶν; ἃ μὲν γὰρ ἡ σελήνη αἰτιᾶται πάντες ἠκούσατε τοῦ ξένου χθὲς διηγουμένου. πρὸς ταῦτα βουλεύεσθε, ἃ καὶ τοῖς ἀνθρώποις λύοιτ᾽ ἂν ὠφελιμώτατα, καὶ ὑμῖν ἀσφαλέστατα. εἰπόντος ταῦτα τοῦ Διός, ἡ ἐκκλησία διετεθρύλλητο. καὶ εὐθὺς ἐβόων ἅπαντες. κεραύνωσον, κατάφλεξον, ἐπίτριψον, ἐς τὸ βάραθρον, ἐς τὸν τάρταρον, ὡς τοὺς γίγαντας. ἡσυχίαν δὲ ὁ Ζεὺς αὖθις παραγγείλας, ἔσται ταῦτα ὡς βούλεσθε ἔφη. καὶ πάντες ἐπιτρίψονται αὐτῇ διαλεκτικῇ. πλὴν τό γε νῦν εἶναι, οὐ θέμις κολασθῆναί τινα. ἱερομηνία γάρ ἐστιν, ὡς ἴστε, μηνῶν τούτων τεττάρων. καὶ ἤδη τὴν ἐκεχειρίαν ἐπηγγειλάμην. ἐς νέωτα οὖν ἀρχομένου ἦρος, κακοὶ κακῶς ἀπολοῦνται τῷ σμερδαλέῳ κεραυνῷ. ἦ, καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων. περὶ δὲ Μενίππου ταῦτα ἔφη μοι δοκεῖ. περιαιρεθέντα αὐτὸν τὰ πτερά, ἵνα μὴ καὶ αὖθις ἔλθῃ ποτέ, ὑπὸ τοῦ Ἑρμοῦ ἐς τὴν γῆν κατενεχθῆναι τήμερον. καὶ ὁ μὲν ταῦτα εἰπών, διέλυσε τὸν σύλλογον. ἐμὲ δὲ ὁ Κυλλήνιος τοῦ δεξιοῦ ὠτὸς ἀποκρεμάσας, περὶ ἑσπέραν χθὲς κατέθηκε φέρων ἐς τὸν κεραμεικόν. Ἅπαντα ἀκήκοας. ἅπαντα ὦ ἑταῖρε τὰ ἐξ οὐρανοῦ. ἄπειμι τοίνυν καὶ τοῖς ἐν τῇ Ποικίλῃ περιπατοῦσι τῶν φιλοσόφων, αὐτὰ ταῦτα εὐαγγελιούμενος.

γ i

Τέλος.

Ayuntamiento de Madrid

Ποσειδῶνος. καὶ Ἑρμοῦ. Ποσειδῶν.

Ἔστιν ὦ Ἑρμῆ νῦν ἐντυχεῖν τῷ Διΐ; Ἑρμῆς. οὐδαμῶς ὦ Πόσειδον. Ποσειδῶν. ὅμως προσάγγειλον αὐτῷ. Ἑρμῆς. μὴ ἐνόχλει, φημί. ἄκαιρον γάρ. ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι. Ποσειδῶν. μῶν τῇ Ἥρα σύνεστιν; Ἑρμῆς. οὔκ. ἀλλ᾽ ἑτεροῖόν τί ἐστι. Ποσειδῶν. συνίημι. ὁ Γανυμήδης ἔνδον. Ἑρμῆς. οὐδὲ τοῦτο. ἀλλὰ μαλακῶς ἔχει αὐτός. Ποσειδῶν. πόθεν ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φής. Ἑρμῆς. αἰσχύνομαι εἰπεῖν. τοιοῦτόν ἐστι. Ποσειδῶν. ἀλλ᾽ οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα. Ἑρμῆς. τέτοκεν ἀρτίως ὦ πόσειδον. Ποσειδῶν. ἄπαγε. τέτοκεν ἐκεῖνος; ἐκ τίνος; οὐκοῦν ἐλελήθει ἡμᾶς ἀνδρόγυνος ὤν. ἀλλ᾽ οὐδὲ ἐπεσήμαινεν αὐτῷ ἡ γαστὴρ ὄγκον τινά. Ἑρμῆς. εὖ λέγεις. οὐ γὰρ ἐκείνη εἶχε τὸ ἔμβρυον. Ποσειδῶν. οἶδα. ἐκ τῆς κεφαλῆς ἔτεκεν αὖθις. ὥσπερ τὴν Ἀθηνᾶν. τοκάδα γὰρ τὴν κεφαλὴν ἔχει. Ἑρμῆς. οὔκ, ἀλλ᾽ ἐν τῷ μηρῷ ἐκύει τὸ ἐκ τῆς Σεμέλης βρέφος. Ποσειδῶν. εὖγε ὁ γενναῖος ὡς ὅλος ἡμῖν κυοφορεῖ, καὶ πανταχόθι τοῦ σώματος. ἀλλὰ τίς ἡ Σεμέλη ἐστίν; Ἑρμῆς. θηβαία, τῶν Κάδμου θυγατέρων μία. ταύτῃ συνελθὼν ἐγκύμονα ἐποίησεν. Ποσειδῶν. εἶτα ἔτεκεν ὦ Ἑρμῆ ἀντ᾽ ἐκείνης; Ἑρμῆς. καὶ μάλα εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ, τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα, οἶσθα δὲ ὡς ζηλότυπός ἐστι, πείθει αἰτῆσαι παρὰ τοῦ Διός, μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ᾽ αὐτήν. ὡς δ᾽ ἐπείσθη, καὶ ἧκεν ἔχων καὶ τὸν κεραυνόν, ἀνεφλέγη ὁ ὄροφος. καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρός. ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικὸς ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἑπταμηνιαῖον. καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρὸν ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα. καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτό. καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει. Ποσειδῶν. νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν; Ἑρμῆς. ἐς τὴν νύσαν ἀποκομίσας παρέδωκα ταῖς νύμφαις ἀνατρέφειν, Διόνυσον ἐπονομασθέντα. Ποσειδῶν. οὐκοῦν ἀμφότερα τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὅδε ἐστιν. Ἑρμῆς. ἔοικεν. ἄπειμι δ᾽ οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων, καὶ τ᾽ ἄλλα ποιήσων ὅσ᾽ ἂν νομίζηται ὥσπερ λεχοῖ. Τέλος.

Ayuntamiento de Madrid

σ Ιμωνίδης ὁ ποιητής, ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης. ἆρ' ἄν μοι ἐθελήσαις ὦ Ἱέρων διηγήσασθαι ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστὶν ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σου οὕτως ὄντος σοφοῦ ἀνδρός; οἶδά σε ἔφη ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα. εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. τί οὖν ἔφη ὁ Ἱέρων οὐχὶ καὶ σύ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτως γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. οὕτω δὴ ὁ Σιμωνίδης εἶπε. τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε ὦ Ἱέρων δοκῶ μοι καταμεμαθηκέναι. διὰ μὲν τῶν ὀφθαλμῶν, ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους. διὰ δὲ τῶν ὤτων, ἀκούσμασι. διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς. διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς. τὰ δ' ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα. τὰ δὲ ψύχη καὶ θάλπη καὶ σκληρὰ καὶ μαλακὰ καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες, ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς. ἀγαθοῖς δὲ καὶ κακοῖς, ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι. ὅτε δ' αὖ λυπεῖσθαι. ἔστι δ' ὅτε κοινῇ, καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώματος. τῷ δ' ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι αἰσθάνεσθαι. ὅπως δέ, καὶ ᾧτινι, καὶ ὁπότε, ταῦτα μᾶλλόν πως ἔφη δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ. πρὸς ταῦτα δή, ὁ Ἱέρων ἀπεκρίνατο. ἐγὼ μὲν τοίνυν ἔφη ὦ Σιμωνίδη. ἔξω τούτων ὧν εἴρηκας σύ γε, οὐδ' ὅπως αἰσθάνοιτό τινος ἄλλου ὁ τύραννος ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτου οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ Σιμωνίδης εἶπεν. ἀλλ' ἐν τοῖσδε ἔφη διαφέρει. πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνεται. πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ Ἱέρων εἶπεν. οὐχ οὕτως ἔχει ὦ Σιμωνίδη ταῦτα. ἀλλ' εὖ ἴσθ' ὅτι μείω πολὺ εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται. ἄπιστα λέγεις ἔφη ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτ' ἔχει, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; ὅτι ναὶ μὰ τὸν Δί' ἔφη ὁ Ἱέρων, ἀπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ



Ayuntamiento de Madrid

δὲ πειράσομαί σε διδάσκειν, ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς
ὄψεως. ἐντεῦθεν γὰρ δοκῶ καὶ σὲ μεμνῆσθαι ἀρξάμενον λέγειν. Πρῶ-
τον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος, εὑρίσκω μειο-
νεκτοῦντας τοὺς τυράννους. ἄλλα μὲν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέα-
τα. ἐπὶ δὲ τούτων ἕκαστα, οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις
ἃς βούλονται θεαμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα
τὰ ἀξιοθεατώτατα δοκεῖ εἶναι ἀνθρώποις συναγείρεσθαι. οἱ δὲ τύραν-
νοι, οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλές,
ὅπου μὴ κρείσσονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι. οὔτε τὰ οἴκοι
κέκτηνται ἐχυρά, ὥστε ἄλλοις παρακαταθεμένους, ἀποδημεῖν.
φοβερὸν γὰρ, μὴ ἅμα στερηθῶσι τῆς ἀρχῆς, καὶ ἀδύνατοι γένωνται
τιμωρήσασθαι τοὺς ἀδικήσαντας. εἴποις οὖν ἂν ἴσως σύ. ἀλλ᾽ ἄρα
ἔρχεται αὐτοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσι. ναὶ μὰ δία ὦ Σιμω-
νίδη. ὀλίγα τέ τῶν πολλῶν. καὶ ταῦτα τοιαῦτα ὄντα, οὕτω τίμια
πωλεῖται τοῖς τυράννοις, ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὁτιοῦν, ἀξιοῦ-
σι πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ, ἀπιέναι παρὰ τοῦ τυ-
ράννου, ἢ ὅσα ἐν παντὶ τῷ βίῳ παρὰ πάντων τῶν ἄλλων ἀνθρώ-
πων κτῶνται, καὶ ὁ Σιμωνίδης εἶπεν. ἀλλ᾽ εἰ τοῖς θεάμασι μειονεκτεῖ-
τε, διά γέτοι τῆς ἀκοῆς πλεονεκτεῖτε. ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροά-
ματος ἐπαίνου, οὔποτε σπανίζετε. πάντες γὰρ οἱ παρόντες ὑμῖν πάν-
τα καὶ ὅσα ἂν λέγητε, καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ᾽ αὖ χα-
λεπωτάτου ἀκροάματος λοιδορίας ἀνήκοοί ἐστε. οὐδεὶς γὰρ ἐθέλει τυ-
ράννου κατ᾽ ὀφθαλμοὺς κατηγορεῖν. καὶ ὁ Ἱέρων εἶπε. καὶ τί οἴει ἔφη
τοὺς μὴ λέγοντας κακῶς, εὐφραίνειν. ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ
σιωπῶντες οὗτοι πάντες κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦν-
τας τί δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν
τοὺς ἐπαίνους ποιεῖσθαι; καὶ ὁ Σιμωνίδης εἶπε. τοῦτο μὲν δὴ ναὶ μὰ
τὸν δία ἔγωγέ σοι Ἱέρων πάνυ συγχωρῶ, τοὺς ἐπαίνους παρὰ τῶν
ἐλευθερωτάτων ἡδίστους εἶναι. ἀλλ᾽ ὁρᾷς ἐκεῖνό γε; οὐκ ἂν ἔτι πείσαις
ἀνθρώπων οὐδένα, ὡς οὐ δι᾽ ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω
ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. καὶ οἶδά γε ἔφη ὦ Σιμωνίδη. ὅτι τούτῳ
κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ἡμᾶς καὶ ἐσθίειν καὶ πίνειν τῶν ἰδιωτῶν,
ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δὴ-

Ayuntamiento de Madrid

πνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι, ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οἱ τύραννοι. ἔκπλεω γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. ἔπειτα δ' ἔφη. ἐκεῖνο εὖ οἶδ' ὅτι, καὶ σὺ ἔμπειρος εἶ. ὅτι ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἐδωδῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτωμένων. ἀλλὰ ναὶ μὰ δία ἔφη ὁ Σιμωνίδης. ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων. οὐκοῦν ἔφη ὁ Ἱέρων ὦ Σιμωνίδη. τὸν ἑκάστῳ ἡδόμενον, μάλιστα τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου; πάνυ μὲν οὖν ἔφη. ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας ἢ τοὺς ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν; οὐ μὰ τὸν δί' ἔφη οὐμενοῦν, ἀλλὰ καὶ ἀγλυκέστερον. ὡς πολλοῖς ἂν δόξειε. τί γὰρ ἔφη ὁ Ἱέρων τὰ πολλὰ ταῦτα μηχανήματα κατανενόηκας, ἃ παρατίθεται τοῖς τυράννοις, ὀξέα καὶ δριμέα καὶ στρυφνά, καὶ τὰ τούτων ἀδελφά; πάνυ μὲν οὖν ἔφη ὁ Σιμωνίδης. καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. ἀλλ' ὅ, τι οὖν οἴει ἔφη ὁ Ἱέρων ταῦτα τὰ ἐδέσματα εἶναι, ἢ μαλακῆς καὶ ἀσθενούσης ψυχῆς ἐπιθυμήματα; ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. ἀλλὰ μέντοι ἔφη ὁ Σιμωνίδης τῶν τε πολυτελῶν ὀσμῶν τούτων αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. ὥσπερ γε καὶ τῶν ἀχαρίστων ὀσμῶν, οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται. ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. οὕτω μέντοι ἔφη ὁ Ἱέρων καὶ τῶν σίτων. ὁ μὲν ἔχων παντοδαπὰ ἀεί, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει. ὁ δὲ σπανίσας τινός, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς πιμπλάμενος ὅταν αὐτῷ προφανῇ τι. Κινδυνεύουσιν ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνου ὑμῖν ἀπολαύσεις, τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν, ὅ, τι ἂν κάλλιστον ἴδηται, τούτῳ συνεῖναι. νῦν δὴ ἔφη ὁ Ἱέρων εἴρηκας, ἐν ᾧ σάφ' ἴσθι μειονεκτοῦμεν τῶν ἰδιωτῶν. πρῶτον



Ayuntamiento de Madrid

μὲν γὰρ γάμος. ὁ μὲν ἐκ μειζόνων δή που καὶ πλούτῳ καὶ δυνάμει, κάλλιστος δοκεῖ εἶναι. καὶ παρέχει τῷ γήμαντι φιλοτιμίαν μεθ' ἡδονῆς. δεύτερον δ' ὁ ἐκ τῶν ὁμοίων. ὁ δ' ἐκ τῶν φαυλοτέρων, πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται. τῷ τοίνυν τυράννῳ, ἂν μὴ ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίγνεται. πολὺ δὲ καὶ αἱ θεραπεῖαι, αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν, εὐφραίνουσι μάλιστα. αἱ δ' ὑπὸ δούλων, παροῦσαι μὲν οὐδέντι ἀγαπῶνται. ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν. Ἐν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις, ἔτι αὖ πολὺ μᾶλλον, ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. ὅτι γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια, πολὺ διαφερόντως εὐφραίνει, πάντες δήπου ἐπιστάμεθα. ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμενος. ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴτις ἄπειρος ὢν δίψους, τοῦ πιεῖν ἀπολαύοι. οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. ὁ δὲ Σιμωνίδης ἐπιγελάσας, πῶς λέγεις ἔφη ὦ Ἱέρων; τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας ἐμφύεσθαι; πῶς μὴν σὺ ἔφη ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου; ὅτι μὰ τὸν Δί' ἔφη ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι, τυχεῖν τούτου μάλιστα ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος, κατεργάσασθαι. ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου ὧνπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν. τούτων δὲ ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν. βίᾳ δὲ λαμβάνειν παρ' αὐτοῦ, ἧττον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ ἐμαυτὸν κακόν τι ποιεῖν. παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν, πάντων ἔγωγε ἥδιστον νομίζω εἶναι. παρὰ δὲ παιδικῶν βουλομένων, ἥδισται οἶμαι αἱ χάριτές εἰσιν. εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις. ἡδεῖαι δὲ αἱ ἐρωτήσεις. ἡδεῖαι δὲ αἱ ἀποκρίσεις. ἥδισται δὲ καὶ ἐπαφροδιτώταται αἱ μάχαι τε καὶ ἔριδες. τὸ δὲ ἀκόντων παιδικῶν ἀπολαύειν, λεηλασία ἔφη ἔμοι γε δοκεῖ ἐοικέναι μᾶλλον ἢ ἀφροδισίοις. καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονάς, τό τε κέρδος καὶ τὸ ἀνιᾶν τὸν ἐχθρόν. τὸ δέ, οὗ ἂν ἐρᾷ τις, τούτῳ ἥδεσθαι ἀνιωμένῳ, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι ἀχθομένου,

Ayuntamiento de Madrid

πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰκτρόν; καὶ γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται. διὰ τὸ εἰδέναι, ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ. τῷ δὲ τυράννῳ, οὔποτ' ἐστὶ πιστεῦσαι ὡς φιλεῖται. ἐπιστάμεθα γὰρ αὐτοὺς διὰ φόβον ὑπηρετοῦντας. ὡς ἢ μάλιστ' ἂν δύνωνται ἐξεικάζουσιν αὐτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσίν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων. Πρὸς ταῦτα δὲ εἶπεν ὁ Σιμωνίδης. ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. πολλοὺς γὰρ ἔφη ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἑκόντας μειονεκτοῦντας, καὶ σίτων καὶ ποτῶν καὶ ὄψων καὶ ἀφροδισίων γε ἀπεχομένους. ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν. ὅτι μεγάλα μὲν ἐπινοεῖτε. ταχὺ δὲ κατεργάζεσθε. πλεῖστα δὲ τὰ περιττὰ ἔχετε. κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους. διαφέροντα δὲ κάλλει ὅπλα. ὑπερέχοντα δὲ κόσμον γυναιξί. μεγαλοπρεπεστάτας δ' οἰκίας. καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις. ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέκτησθε. ἱκανώτατοι δ' ἐστὲ κακῶσαι μὲν ἐχθρούς, ὀνῆσαι δὲ φίλους. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν. ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων ὦ Σιμωνίδη ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος, οὐδέν τι θαυμάζω. μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν, καὶ εὐδαίμονάς τινας εἶναι καὶ ἀθλίους. ἡ δὲ τυραννὶς τὰ δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχεται. τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα. ἔνθαπερ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. τὸ μὲν οὖν πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦτ' ἀγνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι, κάλλιον ἢ διὰ τῶν ὀφθαλμῶν, τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτο εἶναι δοκεῖ μοι θαυμαστόν. ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα ὦ Σιμωνίδη. καὶ λέγω σοι, ὅτι οἱ τύραννοι, τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι. τῶν δὲ μεγίστων κακῶν, πλεῖστα κέκτηνται. αὐτίκα γὰρ εἰ μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν. εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος

Ayuntamiento de Madrid

οἱ τύραννοι μετέχουσιν. εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις, ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πορεύεσθαι, μηδὲν φοβουμένους, μή τις αὐτοὺς ἀποκτείνῃ. οἱ δὲ τύραννοι πάντες, πανταχῇ ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. ἔπειτα δὲ οἱ μὲν ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ' οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι. οἱ δὲ τύραννοι, ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες. ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν κρείσσονες, ἐὰν ἔξω τοῦ τείχους ὄντες οἱ ἥσσονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι. ἀλλ' ἐπειδάν γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομίζουσι καθιστάναι. ὁ δὲ τύραννος, οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστίν. ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι. ἔπειτα τοῖς μὲν ἰδιώταις, καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις. τοῖς δὲ τυράννοις, οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίγνεται, οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαρσήσειε. καὶ πόλεμοι μὲν δή εἰσιν οὕς τε αἱ πόλεις πολεμοῦσι. καὶ οὓς οἱ τύραννοι πρὸς τοὺς βεβιασμένους. τούτων δὴ τῶν πολέμων, ὅσα μὲν ἔχει χαλεπὰ ὁ ἐν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραννος ἔχει. καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους καὶ φυλάττεσθαι καὶ κινδυνεύειν. καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι. μέχρι μὲν δὴ τούτου ἴσοι οἱ πόλεμοι. ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκ ἔτι ἔχουσιν οἱ τύραννοι. αἱ μὲν γὰρ πόλεις δήπου, ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον εἰπεῖν ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους. ὅσην δ' ἐν τῷ διώκειν. ὅσην δ' ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους. ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ. ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσιν. ὡς δ' εὐφραίνονται, τὴν πόλιν νομίζοντες ηὐξηκέναι. ἕκαστος δέ τις προσποιεῖται. καὶ τῆς βουλῆς μετεσχηκέναι, καὶ πλείστους ἀπεκτονέναι. χαλεπὸν δὲ εὑρεῖν ὅπου οὐχὶ καὶ ἐπιψεύδονται πλέονας φάσκοντες ἀπεκτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν. οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾶν. ὁ δὲ τύραννος, ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους

Ayuntamiento de Madrid

τινάς, ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν. ἐπίσταταί τε, ὅτι μειόνων ἄρξει. φαιδρός τε οὐ δύναται εἶναι. οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ. ἀλλὰ καὶ μειοῖ, καθ' ὅσον ἂν δύνηται, τὸ γεγενημένον. καὶ ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πεποίηκεν. οὕτως οὐδ' αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι. καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τούτου θαρρεῖ. ἀλλὰ φυλάττεται ἔτι μᾶλλον, ἢ τοπρόσθεν. καὶ πόλεμον δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ. Φιλίας δ' αὖ καταθέασαι ἃς κοινωνοῦσιν οἱ τύραννοι. Πρῶτον μὲν εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα. ὃς γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσι. ἡδέως δ' εὖ ποιοῦσιν. ποθοῦσι δέ, ἄν που ἀπίῃ. ἥδιστα δὲ πάλιν προσιόντα δέχονται. συνήδονται δὲ ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς. συνεπικουροῦσι δέ, ἐάν τι σφαλόμενον ὁρῶσιν. οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν ὄν, ἥδιστον ἀνθρώποις ἐστίν. μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινὶ ἀποκτείνειν. δηλονότι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι. ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνή, οὐδὲν ἧττον τούτου ἕνεκα τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάνπερ ἡ φιλία δοκεῖ αὐταῖς ἀκήρατος διαμένειν. τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα ἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος, μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. εἰ δὲ βούλει ὦ Σιμωνίδη εἰδέναι. ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι. βεβαιόταται μὲν γὰρ δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας. καὶ παισὶ πρὸς γονεῖς. καὶ ἀδελφοῖς πρὸς ἀδελφούς. καὶ γυναιξὶ πρὸς ἄνδρας. καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους. τοὺς δὲ τυράννους, πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας. πολλοὺς δ' ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας. πολλοὺς δὲ ἀδελφούς, ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μά-



Ayuntamiento de Madrid

λιστα φιλεῖν καὶ νόμῳ συνηναγκασμένων, οὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι; Ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ' ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος; καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν ἐλάχιστον μέτεστι τυράννῳ. ὁπότε γε οὔτε σιτίοις ἀκρατίστοις πιστεύων διάγει. ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύσασθαι. διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν. Ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους. δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω δὲ πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον, τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθαρεύειν. ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις, καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς, μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον. καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοῦτο ποιησάντων. Εἰ δὲ σὺ οἴει, ὡς πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο οὕτως ἔχει ὦ Σιμωνίδη. ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτ' αὐτοὺς εὐφραίνει. ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ. οὕτω καὶ ὁ τύραννος, οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐφραίνεται. ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλούτου εἶναι. οὐδέ γε θᾶττον γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ, ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης οἰκίας ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθυμεῖ. ὁ δὲ τύραννος, ἢ πόλεων ἢ χώρας πολλῆς ἢ λιμένων ἢ ἀκροπόλεων ἰσχυρῶν. ἅ ἐστι πολὺ χαλεπώτερα, καὶ ἐπικινδυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μέντοι καὶ πλουσίους ὄψει, οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν, ὡς πένητας πολλοὺς τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ, οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανά, πολλά ἐστι. τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα. τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧσσον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν ὅπῃ βούλονται. τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται, εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων συντέμνειν, ὄλεθρος δοκεῖ

Ayuntamiento de Madrid

εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύναμιν ἔχειν ἀπὸ τῶν δικαίων ὅσων δέονται, τί τούτους οἰκτείρει τις ὡς πένητας; ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις καὶ πένητας δικαίως καλοῖ; οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους. διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος, ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν, ἢ ἀπολωλέναι. Χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα ὦ Σιμωνίδη τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν, τοὺς κοσμίους γε καὶ σοφοὺς καὶ δικαίους. τούτους δὲ ἀντὶ τοῦ ἀγᾶσθαι, φοβοῦνται. τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν. τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται. τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται. οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα. οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. Ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως, οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' εὐδαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. οὔτε γὰρ ἀλκίμους οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες. ἀλλὰ τοὺς ξένους δεινοτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον. καὶ τούτοις χρῶνται δορυφόροις. Ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχωρεῖ ὁ τύραννος. ἐνδεεστέροις γὰρ οὖσι, ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι. Βούλομαι δέ σοι ἔφη ὦ Σιμωνίδη. κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης, νῦν ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος, ἡδομένοις ἐμοί. συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι. διῆγον δ' ἐν συμποσίοις. πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν. πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι. πολλάκις δὲ μέχρι κοίτης ἐπιθυμίας, ἐμῆς τε καὶ τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοί, διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους. ἀπεστέρημαι δ' αὐτὸς τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν. διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν. μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρα φυλάττομαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον. φοβεῖσθαι



Ayuntamiento de Madrid

φοβεῖσθαι δὲ ἀφυλαξίαν. φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας. καὶ μήτ' ἀνόπλους ἔχειν ἐθέλειν περὶ αὐτόν, μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύειν. βαρβάροις τε μᾶλλον ἢ ἕλλησιν. ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους. οὐ πάντα σοι ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων τε καταπεπληγμένης τεκμήρια εἶναι; ὅγέ τοι φόβος, οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν. ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν, λυμεὼν γίγνεται. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι ποῖον μέν τινα σῖτον ᾑροῦ ἐν ἐκείνῳ τῷ χρόνῳ. ποῖον δέ τινα ὕπνον ἐκοιμῶ. οἷα μέντοι σοι τότ' ἦν τὰ λυπηρά. τοιαῦτ' ἐστὶ τὰ τῶν τυράννων, καὶ ἔτι δεινότερα. οὐ γὰρ ἐξεναντίας μόνον, ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι. Ταῦτα δ' ἀκούσας Σιμωνίδης ὑπολαβὼν εἶπεν. ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος, φοβερὸν μέν. ἀλλ' ὅμως ὦ Ἱέρων ἡμεῖς τε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθισάμενοι, θαῤῥαλέως δείπνου τε καὶ ὕπνου τυγχάνομεν. Καὶ ὁ Ἱέρων ἔφη. ναὶ μὰ δία ὦ Σιμωνίδη. αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι. ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς. καὶ δεῖ μὲν δή που τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι. πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου. ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάσσοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πλείω λαβεῖν, ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. ὁ δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δὲ ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐ δὲ ταῦθ' οὕτως ἔχει. φίλους μὲν γάρ, πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο. ὅ,τι γὰρ ἄν τις λάβῃ παρὰ τυράννου, οὐδεὶς ἑαυτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται, ἐχθροὺς δ' αὖ, πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι. ὅταν εὖ εἰδῶσιν, ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι. τούτους δὲ

μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε ἦ. τίνων γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα, ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαί τε δέῃ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι. εὖ δ' ἴσθι καὶ τοῦτο ὦ Σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνουσιν. ὥσπερ γὰρ καὶ ὁ ἵππος εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δέ, μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτεῖναι διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι χρῷτο εὐλαβούμενος, μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται. καὶ τἄλλα γε κτήματα. ὅσα χαλεπὰ μέν, χρήσιμα δ' ἐστίν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλαττομένους. Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν. Ἔοικεν ἔφη ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμὴ ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι, πάντα μὲν πόνον ὑποδύονται. πάντα δὲ κίνδυνον ὑπομένουσι. καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις, τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν. ὅπως τιμᾶσθε, καὶ ὑπηρετῶσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως. περιβλέπωσι δὲ πάντες. ὑπανιστῶνται δ' ἀπὸ τῶν θάκων. ὁδῶν τε παραχωρῶσιν. γεραίρωσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς. τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι. καὶ ἄλλον ὅν τινα ἀεὶ τιμῶντες τυγχάνουσι. καὶ γάρ μοι δοκεῖ ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζῴων, τῷ τιμῆς ὀρέγεσθαι. ἐπεὶ σιτίοις τε καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδισίοις, πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῷα. ἡ δὲ φιλοτιμία, οὔτ' ἐν τοῖς ἀλόγοις ζῴοις ἐμφύεται, οὔτ' ἐν ἅπασιν ἀνθρώποις. οἷς δ' ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες. ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι. ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε πάντα ἐν τῇ τυραννίδι. ἐπεί περ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ οὐδεμία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων. Ἀλλ' ὦ Σιμωνίδη. καὶ αἱ τιμαὶ τῶν τυράννων, ὅμοιαι ἐμοὶ δοκοῦσιν εἶναι, οἷά περ ἐγώ σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα. οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι, χάριτες ἡμῖν ἐδόκουν εἶναι. οὔτε τὰ



Ayuntamiento de Madrid

ἀφροδίσια τὰ βίαια, ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι παρὰ τῶν φοβουμένων, τιμαί εἰσι. πῶς γὰρ ἂν φαίημεν, ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας παραχωρεῖν. καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις, οὓς μισοῦσι. καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται, μή τι κακὸν ὑπ' αὐτῶν πάθωσιν. ἀλλὰ ταῦτα μὲν οἶμαι δουλείας ἔργα εἰκότως ἂν νομίζοιτο. αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι. ὅταν γὰρ ἄνθρωποι, ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνται τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι τιμᾶν τε τοῦτον ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι. καὶ ὁ τούτων ἀξιούμενος τιμᾶσθαι τῷ ὄντι. καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώμενον μακαρίζω. αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως καὶ ἀνεπιφθόνως καὶ ἀκινδύνως καὶ εὐδαιμόνως τὸν βίον διάγοντα. ὁ δὲ τύραννος ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως ὦ Σιμωνίδη εὖ ἴσθι καὶ νύκτα καὶ ἡμέραν διάγει. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης, καὶ πῶς ἔφη ὦ Ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλάττῃ οὕτω μεγάλου κακοῦ, οὔτε σύ, οὔτε ἄλλος οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο. ὅτι ἔφη ὦ Σιμωνίδη, καὶ ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος, ἢ χρήματα ἐκτίνων, ὅσους ἀφείλετο; ἢ δεσμοὺς ἀντιπαράσχοι, ὅσους δὴ ἐδέσμευσεν; ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας; Ἀλλ' εἴπερ τῳ ἄλλῳ ὦ Σιμωνίδη λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι ἔφη ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ γὰρ αὐτῷ, οὔτε ἔχειν, οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ. Καὶ ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν. Ἀλλὰ τὸ μὲν νῦν ὦ Ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα, οὐ θαυ-

Ayuntamiento de Madrid

μαθεῖν· ἐπεί περ ἐπιθυμῶν φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἐμποδών σοι τούτου νομίζεις αὐτὴν εἶναι· ἐγὼ μέντοι ἔχειν μοι δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖ γε τῆς ἰδιωτείας· ἐπισκοποῦντες δ' αὐτὸ εἰ οὕτως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων, καὶ χαρίζεσθαι πλείω δύναιτ' ἄν· ἀλλ' ἂν τὰ ὅμοια ποιῶσιν ὅτε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶται χάριν· ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων· Ἰδὼν γὰρ πρῶτον προσειπάτω τινὰ φιλικῶς ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης· ἐν τούτῳ, τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτόν· τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος· τὴν παρ' ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν; κάμνοντα θεραπευσάτωσαν ὁμοίως· οὐκοῦν τοῦτο σαφές, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι, καὶ χαρὰν ἐμποιοῦσι μεγίστην· δότωσαν δὴ τὰ ἴσα· οὐ καὶ ἐν τούτῳ σαφές, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες, πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται; ἀλλ' ἔμοι γε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι· μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ τὸν αὐτὸν τοῦτον θεώμεθά τε ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ· διαλεγόμενοί τε ἀγαλλόμεθα, τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι· καὶ μὴν παιδικά γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει· ἥκιστα δ' αἶσχος πρὸς ὃν ἂν τυγχάνει ὁμιλῶν, τοῦτο ὑπολογίζεται· αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συνεπικοσμεῖ· ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν· ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουργημάτων μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ ἐπειδάν γε ὑμεῖς πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει· Καὶ ὁ Ἱέρων εὐθὺς ὑπολαβών, ὅτι νὴ Δία ἔφη ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

Ayuntamiento de Madrid

πρακτέον μὲν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα. ἀναγκαστέον δὲ φυλάσσειν, ὅσα δεῖται φυλακῆς. κολαστέον δὲ τοὺς ἀδίκους. κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους καιρὸς παραστῇ, ἢ πεζῇ ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι, οὐκ ἐπιτρεπτέον τοῖς ῥᾳδιουργοῦσιν. ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. οὐ γὰρ τυράννοις ἰσοτίμους, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

Πρὸς ταῦτα δὴ πάλιν ὁ Σιμωνίδης εἶπεν. Ἀλλὰ ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον ὦ Ἱέρων, οὐ λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν, αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν ἃ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται. τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα, λοιδορεῖν τε καὶ ἀναγκάζειν καὶ ζημιοῦν καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι᾽ ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι. ἀνδρὶ ἄρχοντι, τὸ μὲν ἀνάγκης δεόμενον, ἄλλοις προστακτέον εἶναι κολάζειν. τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι᾽ αὑτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχῃ, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χοροὺς ἡμῖν βουλόμεθα ἀγωνίζεσθαι, ἆθλα ὁ ἄρχων προστίθησιν. ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς, καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις, τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο. τὰ δ᾽ ἀντίτυπα δι᾽ ἄλλων. τί οὖν κωλύει, καὶ τ᾽ ἄλλα τὰ κωλυτικὰ οὕτως περαίνεσθαι. διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις. αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μόρας, αἱ δὲ κατὰ λόγους. καὶ ἄρχοντες ἐφ᾽ ἑκάστῳ μέρει ἐφεστήκασιν. οὐκοῦν εἴτις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς ἆθλα προστιθείη καὶ εὐοπλίας καὶ εὐταξίας καὶ ἱππικῆς, καὶ ἀλκῆς, τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης, τῆς ἐν τοῖς συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὐτόνως ἀσκεῖσθαι. καὶ ναὶ μὰ δία ὁρμῶντό γε θᾶττον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι. καὶ χρήματα θᾶσσον εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη. καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι, ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴτις ἆθλα προστιθείη κατ᾽ ἀγροὺς ἢ κατὰ κώμας, τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις. καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως

Ayuntamiento de Madrid

τρεπομένοις, πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ αἱ πρόσοδοι αὔξοιν-
τ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρ-
τεῖ. καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. εἰ δὲ καὶ ἐμ-
πορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν, καὶ
ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν
τινα ἄλυπον εὑρίσκων τῇ πόλει, τιμήσεται, οὐδ' αὕτη ἂν ἡ σκέψις
ἀργοῖτο. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη,
ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος, οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦ-
το ἐξορμήσειεν, ἔργον ποιεῖσθαι, τοῦ σκοπεῖν τι ἀγαθόν. καὶ ὅταν
γε πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον
καὶ ἐπιμελεῖσθαι. εἰ δὲ φοβῇ ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προ-
τεθειμένων, πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅτι οὐκ ἔστιν ἐμ-
πορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν
ἱππικοῖς καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν, ὡς μικρὰ ἆθλα, μεγά-
λας δαπάνας, καὶ πολλοὺς πόνους, καὶ πολλὰς ἐπιμελείας ἐξάγεται
ἀνθρώπων; Καὶ ὁ Ἱέρων εἶπεν. Ἀλλὰ ταῦτα μὲν ὦ Σιμωνίδη κα-
λῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς
μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις ὡς φιλίαν κτησάμενος ἄρχων, οὐ-
δὲν ἔτι δεήσεται δορυφόρων; Ναὶ μὰ δία εἶπεν ὁ Σιμωνίδης. δεήσε-
ται μὲν οὖν. οἶδα γὰρ ὅτι ὥσπερ ἐν ἵπποις οὕτω καὶ ἐν ἀνθρώποις τι-
σὶν ἐγγίγνεται. ὅσῳ ἂν ἔκπλεα τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβρι-
στοτέρους εἶναι. τοὺς μὲν οὖν τοιούτους, μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ
τῶν δορυφόρων φόβος. τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δο-
κῆς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων.
τρέφεις μὲν γὰρ δή που καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας. ἤδη δὲ πολ-
λοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. εἰ οὖν ἓν πρῶτον
τοῦτ' εἴη, τῶν προστεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δο-
ρυφόρους τῶν πολιτῶν, βοηθεῖν πᾶσιν ἄν τι τοιοῦτον αἰσθάνωνται.
γίγνονται δέ που ὡς πάντες ἐπιστάμεθα, κακοῦργοι ἐν πόλεσιν. εἰ οὖν
καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν
ὠφελούμενοι. πρὸς δὲ τούτοις καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτή-
νεσιν, οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα
παρέχειν. ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις. ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν



Ayuntamiento de Madrid

ἱκανοί γε μὴν εἰσὶ καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες. πρὸς δὲ τούτοις καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας, τίνες ἑτοιμότεροι, ἢ προαισθέσθαι ἢ κωλῦσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν στρατιᾷ, τί ἐστιν ὠφελιμώτερον πολίταις, μισθοφόρων; τούτους γὰρ προπονεῖν καὶ προκινδυνεύειν καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι. τὰς δ' ἀγχιτέρμονας πόλεις, οὐκ ἀνάγκη διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ γὰρ συντεταγμένοι, καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν. ὅταν γε μὴν γνῶσιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδυνεύουσι τῶν πολιτῶν. πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδία ἐπὶ μείοσι τούτων φύλακας. Χρὴ δὲ ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. καὶ γάρ ἔμοι γε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλούμενα, μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον, ἀνδρὶ τυράννῳ. καθ' ἓν δ' ἕκαστον σκοπῶμεν. οἰκίαν πρῶτον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς καὶ παραστάσι καὶ ἀγοραῖς καὶ λιμέσι κατεσκευασμένην; ὅπλοις δὲ, πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος, δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι οὔσης; προσόδους δὲ ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι; τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν, ποτέρως ἂν δοκῇς μᾶλλον κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν ἑλλήνων ἅρματα τρέφοις τε καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς σῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο. νικᾶν δὲ πότερα δοκεῖς κάλλιον εἶναι, ἅρματος ἀρετῇ, ἢ πόλεως ἧς προστατεύεις εὐδαιμονίᾳ; ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ, πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ, οὐκ ἂν θαυμάζοιο. ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς

Ayuntamiento de Madrid

δαπάνας ποιούμενος. νικώμενος δ' ἂν, πάντων μάλιστα καταγελῷο. Ἀλλ' ἐγώ σοι φημὶ ὦ Ἱέρων πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι. ὧν ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν ἧς προστατεύεις παρέχῃς, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι. καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων. οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις. ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. περίβλεπτος δὲ ὢν, οὐχ ὑπὸ ἰδιωτῶν μόνον ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν. καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης. καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴ που βούλοιο, θεωρήσοντι πορεύεσθαι. ἐξείη δ' ἂν αὐτοῦ μένοντι, τοῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδεικνύναι, εἴ τίς τι σοφὸν ἢ ἀγαθὸν ἔχοι. τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν, πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι. ὁ δὲ ἀπὼν, ἐπιθυμοίη ἂν ἰδεῖν σε. ὥστε οὐ μόνον φιλοῖο ἂν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων. καὶ τοὺς καλοὺς οὐ πειρᾶν ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι. φόβον δὲ οὐκ ἂν ἔχοις. ἀλλ' ἄλλοις παρέχοις, μή τι πάθῃς. ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἄν. καὶ ἐθελουσίως σου προνοοῦντας θεῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμάχους μόνον ἀλλὰ καὶ προμάχους καὶ προθύμους ὁρῴης ἄν. πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις. πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς. πάντας δὲ πρὸ τῶν σῶν ἰδίων ὥσπερ τῶν ἰδίων μαχομένους. θησαυροὺς γε μὴν ἔχοις πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. Ἀλλὰ θαῤῥῶν ὦ Ἱέρων πλούτιζε μὲν τοὺς φίλους. σαυτὸν γὰρ πλουτιεῖς. αὖξε δὲ τὴν πόλιν. σαυτῷ γὰρ δύναμιν περιάψεις. κτῶ δὲ αὐτῇ συμμάχους. νόμιζε δὲ, τὴν μὲν πατρίδα, οἶκον. τοὺς δὲ πολίτας, ἑταίρους. τοὺς δὲ φίλους, τέκνα σεαυτοῦ. τοὺς δὲ παῖδας, ὅτι περ τὴν σὴν ψυχήν. καὶ τούτους πάντας πειρῶ νικᾶν εὖ ποιῶν. ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτήσῃ. εὐδαιμονῶν γὰρ οὐ φθονήσῃ.

Τέλος.



Ayuntamiento de Madrid

# ΙΣΟΚΡΑΤΟΥΣ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.

Ἐν πολλοῖς μὲν ὦ Δημόνικε πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων διανοίας. πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσιν. καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. Ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ. καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι᾽ ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ᾽ ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν. ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι. κάλλος μὲν γὰρ, ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν. ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. ῥώμη δὲ μετὰ μὲν

Ayuntamiento de Madrid

φρονήσεως, ὠφέλησεν. ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε. καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότισεν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις ξυναυξηθῇ, μόνη μὲν συγγηράσκει. πλούτου δὲ κρείττων, χρησιμοτέρα δὲ τῆς εὐγενείας ἐστί. τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα. καὶ τὸν μὲν ὄκνον, ψόγον, τὸν δὲ πόνον, ἔπαινον ἡγουμένη. ῥάδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν Ἡρακλέους ἄθλων καὶ τῶν Θησέως ἔργων. οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥαθυμῶν διετέλεσε τὸν βίον. ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα. ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητός, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. οὐδὲ ταπεινῶς διώκει τὸν ἑαυτοῦ βίον. ἀλλὰ φιλόκαλός τε ἦν καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός. καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας. ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης. ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν, ἐν ἑτέροις καιροῖς δηλώσομεν. δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν. πρὸς ὃ δεῖ ζῆν σε ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γινόμενον. αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ, τοῖς σπουδαίοις λόγοις, αὔξεσθαι πέφυκε. διόπερ

ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι᾽ ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως. οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν. Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. τούτου δ᾽ ἂν ἐπιτυγχάνοις, εἰ λήγεις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου. τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν. δι᾽ ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον. αἰσχύνην. δικαιοσύνην. σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας, ἔλπιζε λήσειν. καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. Τὸν μὲν θεὸν φοβοῦ.

Τοὺς δὲ γονεῖς τίμα. Τοὺς δὲ φίλους αἰσχύνου. Τοῖς δὲ νόμοις πείθου. Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. τέρψις γὰρ σὺν τῷ καλῷ μὲν, ἄριστον. ἄνευ δὲ τούτου, κάκιστον. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων, καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. Μάλιστα δ᾽ ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἐὰν ἦς φιλομαθής, ἔσῃ πολυμαθής. Ἃ μὲν ἐπίστασαι διαφύλαττε ταῖς μελέταις. ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως γὰρ αἰσχρόν, ἀκούσαντα χρήσιμον λόγον, μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων, μὴ λαβεῖν. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν. οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥαδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω, τὰ μὲν γὰρ ταχέως ἀπολείπει. τὰ δέ, πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνη τῶν

Ayuntamiento de Madrid

κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους, μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν, τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας. εὐπροσηγορίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μὴ δὲ μακρὰς περὶ τῶν αὐτῶν. Πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων. κέρδους. ὀργῆς. ἡδονῆς. λύπης. ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. τῇ δὲ ὀργῇ, παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασῴζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς προτέροις φίλοις. ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίνου. γενόμενος δὲ, πειρῶ διαμένειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων. μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, προσποιῇ δεῖσθαι

Ayuntamiento de Madrid

προσποιῇ. Περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοίνου· μὴ τυχὼν μὲν γάρ, οὐδὲν βλαβήσῃ· τυχὼν δὲ μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν· τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. Οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις· ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθεῖς. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν, τὸ μεγαλοπρεπές· καλλωπιστοῦ δέ, τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλόν, κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις· κτήματα δέ, τοῖς χρῆσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα· τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. Πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα. Στέργε μὲν τὰ παρόντα· ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρὰ ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι

Ayuntamiento de Madrid

χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. τῶν μὲν γάρ, τὸν ὑπεροπτικὸν ὄγκον, μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν. τῶν δέ, τὸν ὁμιλητικὸν τρόπον, ἅπαντες ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δὲ ἔσῃ, μὴ δύσερις ὤν, μὴ δὲ δυσάρεστος, μὴ δὲ πρὸς πάντα φιλόνεικος, μὴ δὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μὴ δ᾽ ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν. ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων. μὴ δὲ περὶ τὰ γελοῖα σπουδάζων, μὴ δὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων. τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. μὴ δὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος. ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μέν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μὴ δὲ φιλαίτιος ὤν. βαρὺ γάρ. μὴ δὲ φιλεπιτιμητής. παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας. ἂν δέ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνούντων, ἥτε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς διανοίας. Ἀθάνατα μὲν φρόνει, τῷ μεγαλόψυχος εἶναι. θνητὰ δέ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν. αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας, πολλάκις γὰρ ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας, ἀρχὴ μὲν γὰρ φιλίας, ἔπαινος. ἔχθρας δέ, ψόγος. Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν θεοῦ εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος. οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι,



Ayuntamiento de Madrid

σκόπει πρῶτον πῶς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν. ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας. καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα. δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν. ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις. ἰσχυρότατον μέντοι νόμον ἡγοῦ, τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν. Εἰς ἀρχὴν κατασταθεὶς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος. πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρΐστασο, μήτε συνηγόρει. δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν. ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ. ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει.

Μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν, ἐπιτελεῖν δύνῃ τὰ δόξαντα. τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα. Πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω

Ayuntamiento de Madrid

γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων. ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν ἢ λέγειν. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν. Γίνου δὲ τοῖς ἄλλοις ἐν μηδετέροις ὢν κατάδηλος. ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὰν, τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε. τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν. ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥαδίως εἰδήσεις. τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοι συμβουλεύειν. πολλὴν δ' ἂν τῷ θεῷ χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον



Ayuntamiento de Madrid

οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. κἀκεῖ μὲν πρῶτον ἡσθέντες ὕστερον ἐλυπήθημεν. ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν, τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας. εἰκότως. ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν. οἱ δέ, σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα, τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων.

Ζεὺς γὰρ Ἡρακλία καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δέ, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας. καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν. οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

Τέλος.

Ayuntamiento de Madrid

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΙ ΛΟΓΟΙ τρεῖς. καὶ εἰς αὐτοὺς Λιβανίου ὑποθέσεις.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ Ὀλυνθιακοῦ πρώτου λόγου.

Ὄλυνθος ἦν πόλις ἐπὶ θράκης. ἑλληνικὸν δὲ ταύτη τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ χαλκίδος τῆς ἐν εὐβοίᾳ. ἡ δὲ Χαλκὶς ἀθηναίων ἄποικος. πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου. Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν ἑλλήνων τὸ παλαιὸν, καὶ αὖθις Λακεδαιμονίοις. χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων ὑπερεῖχεν. ἦν γὰρ ἐπὶ θράκης, πολύτι γένος χαλκιδικόν. Φιλίππῳ δὲ τῷ μακεδόνων βασιλεῖ, συμμαχίαν οἱ ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς ἀθηναίους τὸ κατ' ἀρχὰς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ μακεδόνος εἰληφότες πόλιν ἀμφισβητήσιμον μακεδόσι καὶ ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς ἀθηναίους, κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον. ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον. συνετέθειτο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς ἀθηναίους, κἂν ἄλλό τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ Φίλιππος, πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι, καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις, πόλεμον ἐπήνεγκεν. οἱ δὲ, πεπόμφασι πρέσβεις εἰς ἀθήνας περὶ βοηθείας. οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καὶ φησὶ τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν τῶν ἀθηναίων εἶναι. σωζομένων γὰρ τῶν Ὀλυνθίων, οὐδέποτε ἥξειν εἰς τὴν ἀττικὴν Φίλιππον. ἀλλὰ τοῖς ἀθηναίοις ἐξουσίαν ἔσεσθαι, πλεῖν ἐπὶ τὴν μακεδονίαν, κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον. εἰ δὲ ὑπὸ Φιλίππῳ γένηται ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς ἀθηναίους ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ δυσμάχητον εἶναι τὸν Φίλιππον. οὕτως ὑπείληπται



Ayuntamiento de Madrid

θαρσύνων ἐπ' αὐτὸν τοὺς ἀθηναίους. διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων ποιῆσαι αὐτὰ στρατιωτικά, ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶντο οἱ ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. οὐκ ὄντος τοπαλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων ξυμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τε ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν ἀθηναίων, ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους. καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολούς, καὶ βαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο. προῆλθε δὲ εἰς τοσοῦτον, ὥστε οὐκ εἰς τοῦτο μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι, μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον. τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες, διενέμοντο τὰ χρήματα. οὐκ ἔτι οὖν ἤθελον ἐξιέναι, καὶ κινδυνεύειν. ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπηλοῦντα τῷ γράψαντι μετατεθῆναί τε ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν, καὶ γενέσθαι στρατιωτικά. διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς. καὶ ὑπερωτήσας ἑαυτὸν, ὅτι σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά, ἐπιφέρει, μὰ δί' οὐκ ἔγωγε. ταῦτα μὲν περὶ τῶν θεωρικῶν. διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι, καὶ μὴ διὰ ξένων ὥσπερ εἰώθεσαν ποιεῖσθαι τὴν βοήθειαν. τοῦτο γὰρ αἴτιον εἶναι ἔφη τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

## ΔΗΜΟΣΘΕΝΟΥΣ Ἀθηναίου Ῥήτορος Ὀλυνθιακὸς λόγος. α'.

Α' Ντὶ πολλῶν ἂν ὦ ἄνδρες ἀθηναῖοι χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν. οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω, πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν. ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι. Ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες ἀθηναῖοι μονονουχὶ λέγει φωνὴν

Ayuntamiento de Madrid

ἀφιείς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστίν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα, ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε βοηθήσητε, καὶ μὴ πάθητε ταυτόν, ὅπερ καὶ πρότερον. πρεσβείαν δὲ πέμπειν, ἥτις ταῦτ' ἐρεῖ, καὶ παρέσται τοῖς πράγμασιν. ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὤν, καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν, εἴκων ἡνίκα ἂν τύχῃ, τὰ δ' ἀπειλῶν, ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο, τὰ δ' ἡμᾶς διαβάλλων, καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψηται, καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. οὐ μὴν ἀλλ' ἐπιεικῶς ὦ ἄνδρες ἀθηναῖοι τοῦθ' ὅπερ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ἡμῖν. τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον, καὶ ῥητῶν, καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγόν, καὶ δεσπότην, καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι, πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγὰς ἃς ἂν ἐκεῖνος ποιήσηται ἄσμενος πρὸς ὀλυνθίους, ἐναντίως ἔχει. δῆλον γάρ ἐστι τοῖς ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως, καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος. καὶ ἴσασιν ἅ τ' ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ πυδναίων τοὺς ὑποδεξαμένους, καὶ ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις, ἡ τυραννίς. ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι. ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι, καὶ τἄλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους, φημὶ δεῖν ἐθελῆσαι, καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν εἴπερ ποτὲ καὶ νῦν, χρήματα εἰσφέροντας προθύμως, καὶ αὐτοὺς ἐξιόντας, καὶ μηδὲν ἐλλείποντας. οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν, τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν, ὑπολείπεται. νυνὶ γὰρ ὃ πάντες ἐθρυλλεῖτε ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖν Φιλίππῳ, γέγονεν αὐτόματον. καὶ ταῦτα ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι, καὶ μέχρι του, ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως. ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτούς, ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. οὐ δεῖ δὴ τοιοῦτον ὦ ἄνδρες ἀθηναῖοι παραπεπτωκότα καιρὸν ἀφεῖναι, οὐδὲ παθεῖν ταυτόν, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. εἰ γὰρ ὅθ' ἥκομεν εὐβοεῦσι

Ayuntamiento de Madrid

βεβοηθηκότες, καὶ παρῆσαν ἀμφιπολιτῶν Ἱέραξ, καὶ Στρατοκλῆς, ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες ὑμᾶς ἐκπλεῖν, καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ᾽ ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἥνπερ ὑπὲρ τῆς τῶν εὐβοέων σωτηρίας, εἴχετ᾽ ἂν Ἀμφίπολιν τότε, καὶ πάντων τῶν μετὰ ταῦτα ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαί, τἄλλα, ἵνα μὴ καθέκαστα λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἐχρώμεθα τῷ Φιλίππῳ. νυνδὲ τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτόματα οἰόμενοι σχήσειν καλῶς, καὶ ηὐξήσαμεν ὦ ἄνδρες ἀθηναῖοι Φίλιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε μακεδονίας. νυνὶ δὲ καιρὸς ἥκει. τίς οὗτος; ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων. καὶ ἔμοι γε δοκεῖ, τίς ἂν ὦ ἄνδρες ἀθηναῖοι δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστάς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν εἰκότως. τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον, τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως. τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ᾽ ἐκείνων εὐνοίας εὐεργέτημ᾽ ἂν ἔγωγε θείην. ἀλλ᾽ οἶμαι παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως. ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν. ἂν δ᾽ ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως. οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ᾽ εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν, μνημονεύουσι. πρὸς γὰρ τὸ τελευταῖον ἐκβάν, ἕκαστον τῶν προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται. διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ἡμᾶς ὦ ἄνδρες ἀθηναῖοι φροντίσαι, ἵνα ταῦτ᾽ ἐπανορθωσάμενοι, τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησόμεθα ὦ ἄνδρες ἀθηναῖοι καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ᾽ Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τίς ἐμοί, τί τὸ κωλῦον ἔτ᾽ αὐτὸν ἔσται, βαδίζειν ὅποι βούλεται; ἆρά γε λογίζεταί τις ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι καὶ θεωρεῖ τὸν τρόπον, δι᾽ ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ᾽ ἀρχάς

Ayuntamiento de Madrid

Φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν· πάνθ' ὃν ἐβούλετο εὐτρεπίσας τρόπον, ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ, τοὺς μὲν ἐκβαλὼν, τοὺς δὲ, καταστήσας τῶν βασιλέων, ἠσθένησε· πάλιν ῥαΐσας, οὐκ ἐπὶ τὸ ῥαθυμεῖν ἀπέκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε· τὰς δ' ἐπ' Ἰλλυριοὺς, καὶ Παίονας αὐτοῦ, καὶ πρὸς Ἀρύμβαν, καὶ ὅπη τίς ἂν εἴποι, παραλείπω στρατείας. τί οὖν τίς ἂν εἴποι ταῦτα λέγεις ἡμῖν νῦν; ἵνα γνῶτε ὦ ἄνδρες ἀθηναῖοι, καὶ αἴσθησθε ἀμφότερα, καὶ τὸ προΐεσθαι καθέκαστον ἀεί τι τῶν πραγμάτων, ὡς ἀλυσιτελές. καὶ τὴν φιλοπραγμοσύνην, ᾗ πρὸς ἅπαντας χρῆται καὶ συζῆ Φίλιππος· ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις, ἡσυχίαν σχήσει. εἰ δ' ὁ μὲν, ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται· ὑμεῖς δὲ ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πραγμάτων, σκοπεῖτε εἰς τί ποτε ἐλπὶς ταῦτα τελευτῆσαι. πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν. ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα ὦ ἄνδρες ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι ῥαδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολλῷ φανῶμεν ἐρραθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἠβουλόμεθα, ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ. τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τὶς ἂν ῥάδιον, καὶ παντὸς εἶναι. τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ,τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δὲ οὐκ ἀγνοῶ μὲν ὦ ἄνδρες ἀθηναῖοι τοῦθ', ὅ,τι πολλάκις ὑμεῖς, οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ. οὐ μὴν οἶμαι δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστείλασθαι, περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. φημὶ δὴ, διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν, καὶ τριήρεσι, καὶ στρατιώταις ἑτέροις. εἰ δὲ θατέρου τούτων ὀλιγωρήσητε, ὀκνῶ μὴ μάταιος ἡμῖν ἡ στρατεία γένηται. εἴ τε γὰρ ὑμῶν τὴν ἐκείνου



Ayuntamiento de Madrid

κακῶς ποιούντων, ὑπομείνας τοῦτο, Ὄλυνθον παραστήσεται, ῥαδί-
ως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται. εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς
Ὄλυνθον, ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι, προσκαθεδεῖται, καὶ προ-
σεδρεύσει τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων.
δεῖ δὴ πολλὴν καὶ διχῆ τὴν βοήθειαν εἶναι. καὶ περὶ μὲν τῆς βοηθεί-
ας ταῦτα γιγνώσκω. περὶ δὲ χρημάτων πόρου, ἔστιν ὦ ἄνδρες Ἀθη-
ναῖοι, χρήματα ὑμῖν. ἔστιν, ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιω-
τικά. ταῦτα δὲ ὑμεῖς, οὕτως ὡς βούλεσθε, λαμβάνετε. εἰ μὲν οὖν ταῦ-
τα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου. εἰ δὲ
μή, προσδεῖ. μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. τί οὖν ἄν τις εἴποι,
σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; μὰ Δί', οὐκ ἔγωγε. ἐγὼ μὲν γὰρ
ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι, καὶ ταῦτα εἶναι στρατιωτικά.
καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτήν, τοῦ, τε λαμβάνειν, καὶ τοῦ ποιεῖν τὰ δέ-
οντα. ὑμεῖς δὲ οὕτω πως ἄνευ πραγμάτων λαμβάνετε εἰς τὰς ἑορτάς. ἔστι
δὴ λοιπὸν οἶμαι πάντας εἰσφέρειν. ἂν πολλῶν δέῃ, πολλά. ἂν ὀλίγων,
ὀλίγα. Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων, οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων.
λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε ὅστις ὑμῖν ἂν συμ-
φέρειν δοκῇ. καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων. ἄξιον δὲ
ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα, ἐν ᾧ καθέστηκε νυνὶ τὰ Φιλίπ-
που. οὔτε γὰρ ὡς δοκεῖ, καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐπρε-
πῶς, οὐδ' ὡς ἂν κάλλιστα αὐτῷ τὰ παρόντ' ἔχῃ, οὔτ' ἂν ἐξήνεγκε τὸν πό-
λεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτόν. ἀλλ' ὡς ἐπιών,
ἅπαντα τότε ἤλπιζε τὰ πράγματα ἀναιρήσεσθαι. κἆτα διέψευσται. τοῦτο
δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονός, καὶ πολλὴν ἀθυμίαν
αὐτῷ παρέχει. εἶτα, τὰ τῶν Θετταλῶν, ταῦτα γὰρ ἄπιστα μὲν ἦν
δήπου φύσει, καὶ ἀεὶ πᾶσιν ἀνθρώποις. κομιδῇ δ' ὥσπερ ἦν, καὶ ἔστι
νῦν τούτῳ. καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι. καὶ
Μαγνησίαν κεκωλύκασι τειχίζειν. ἤκουον δ' ἔγωγέ τινων, ὡς οὐδὲ
τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι. τὰ γὰρ κοι-
νὰ τῶν Θετταλῶν, ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβά-
νειν. ἂν δὲ τούτων ἀποστερηθῇ τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς
τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε Παίονα, καὶ
τὸν Ἰλλυριόν, καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους,

Ayuntamiento de Madrid

ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι. καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι. καὶ ἄνθρωπος ὑβριστής, ὥς φασι. καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως. τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθά, τοῦ κτήσασθαι χαλεπώτερον εἶναι. δεῖ τοίνυν ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι τὴν ἀκαιρίαν τὴν ἐκείνου, καιρὸν ἡμέτερον νομίσαντας, ἑτοίμως συνάρασθαι τὰ πράγματα. καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτούς, καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, ὡς εἰ Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρόν, καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν; εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; ἔτι τοίνυν ὦ ἄνδρες ἀθηναῖοι, μὴ δὲ τοῦτ' ὑμᾶς λανθανέτω. ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερον ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν, ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ ἀντέχει τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε, καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν, καὶ τὴν οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι. ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. ἀλλὰ φωκεῖς, οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσητε ὑμεῖς, ἢ ἄλλος τίς; ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται; τῶν ἀτοπωτάτων μέντ' ἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει. ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ διάφορα ἐνθάδε, ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας ἔξω γενέσθαι, καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους, τῶν ἐκ τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτοῖς πολεμίου λέγω, πλέον ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν, ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνηται. εἰ δὲ δὴ πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιωθήσεσθαι, πρόσεσθ' ἡ ὕβρις. καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι. πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν, καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον. τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι, μικρὰ ἀναλίσκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς. τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ τοῦ Φιλίππου χώρᾳ κτησάμενοι, φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται.



Ayuntamiento de Madrid

τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι, ῥάδιαι γίνωνται. ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δὲ εἴη, παντὸς εἵνεκα.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ λόγου Ὀλυνθιακοῦ δευτέρου.

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι. μέλλουσι δὲ περὶ τὴν ἔξοδον, καὶ δεδιόσιν ὡς δυσπολεμήτου ὄντος τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης, πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναί φησι, καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν. τοὺς γὰρ μακεδόνας, ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΣ ΔΕΥΤΕΡΟΣ.

Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν ὦ ἄνδρες ἀθηναῖοι δοκεῖ μοι, τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γιγνομένην τῇ πόλει. οὐχ ἥκιστα δέ, ἐν τοῖς παροῦσι πράγμασι. τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ὅμορον, καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγάς, πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαιμονία τινί, καὶ θεία παντάπασιν ἔοικεν εὐεργεσία. δεῖ τοίνυν ὦ ἄνδρες ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξωμεν τῶν ὑπαρχόντων, ὡς ἐστὶ τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνων πόλεων καὶ τόπων, ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε, καὶ καιρῶν. τὸ μὲν οὖν ὦ ἄνδρες ἀθηναῖοι τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πάνθ' ὅσα ἂν εἴπῃ τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινά,

Ayuntamiento de Madrid

ὑμῖν δ᾽ οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γάρ, ὅσω πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὐτοῦ, τοσούτω θαυμαστότερος παρὰ πᾶσι νομίζεται. ὑμεῖς δὲ ὅσω χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτω πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν, παραλείψω. καὶ γὰρ εἰ μετ᾽ ἀληθείας τὶς ὦ ἄνδρες ἀθηναῖοι σκοποῖτο, ἐνθένδ᾽ ἂν, μέγαν αὐτὸν ἤδη γεγενημένον, οὐχὶ παρ᾽ αὐτοῦ. ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιστόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα ὦ ἄνδρες ἀθηναῖοι κατ᾽ ἐκείνου φαίνοιτ᾽ ἂν ὀνείδη, βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ᾽ εἰπεῖν πειράσομαι. τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως. τὸ δὲ πάνθ᾽ ὅσα πώποτ᾽ ἔπραξε διεξιόντα, ἐφ᾽ ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ, τ᾽ ἐκεῖνον ὅπερ καὶ ἀληθὲς ὑπάρχει φαῦλον φαίνεσθαι, καὶ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον, ἰδεῖν ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος, μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματα αὐτοῦ. ἐγὼ μὲν οὖν ὦ ἄνδρες ἀθηναῖοι σφόδρα ἂν ἡγούμην καὶ αὐτός, φοβερὸν εἶναι καὶ θαυμαστὸν τὸν Φίλιππον, εἰ τὰ δίκαια πράττοντα, ἑώρων αὐτὸν ηὐξημένον. νῦν δὲ θεωρῶν, καὶ σκοπῶν, εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ᾽ ἀρχάς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες, ἐνθένδε βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τῷ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ προσαγόμενον. τὴν δὲ Ὀλυνθίων φιλίαν μετὰ ταῦτα, τῷ Ποτίδαιαν οὖσαν ἡμετέραν ἐξελεῖν. καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις. Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα, τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι, καὶ τὸν φωκικὸν πόλεμον ὑπὲρ αὐτῶν πολεμήσειν ἀναδέξασθαι. ὅλως δὲ οὐδείς ἐστιν ὅντιν᾽ οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων. τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν, καὶ προσλαμβάνων, οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς

ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων, καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. καιροῦ μέντοι ὦ ἄνδρες ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα. ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω. ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ. ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι θετταλοί, νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία, καὶ λιμένας, καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ, καὶ πᾶσι ταῦτα συμφέρει τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι. ὅταν δ' ἐκ πλεονεξίας, καὶ πονηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα, ἅπαντα ἀνεχαίτισε, καὶ διέλυσεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὦ ἄνδρες ἀθηναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον, δύναμιν βεβαίαν κτήσασθαι. ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ, καὶ βραχὺν χρόνον ἀντέχει. καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ. τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὐτὰ καταρρεῖ. ὥσπερ γὰρ οἰκίας οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων, τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς, καὶ τὰς ὑποθέσεις, ἀληθεῖς, καὶ δικαίας εἶναι προσήκει. τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ. φημὶ δὴ δεῖν ἡμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα, καὶ τάχιστα, οὕτως ἀρέσκει μοι. πρὸς δὲ θετταλούς, πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δέ, παροξυνεῖ. καὶ γὰρ νῦν εἰσιν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν, καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτο ὦ ἄνδρες ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, ἐξεληλυθότων ὑμῶν ἀξίως τῆς πόλεως, καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν. ὡς ἅπας μὲν λόγος ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως. ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ. πολλὴν δὲ τὴν μετάστασιν, καὶ μεγάλην δεικτέον τὴν μεταβολήν,

Ayuntamiento de Madrid

εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. κἂν ταῦτα ἐθελήσητε ὡς προσήκει καὶ δεῖ παραινεῖν, οὐ μόνον ὦ ἄνδρες ἀθηναῖοι τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται. ὅλως μὲν γὰρ ἡ μακεδονικὴ δύναμις καὶ ἀρχὴ, ἐν μὲν προσθήκης μέρει, ἐστί τις οὐ σμικρὰ, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους. πάλιν αὖ, πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον. νυνὶ δὲ Θετταλοῖς νοσοῦσι, καὶ στασιάζουσι, καὶ τεταραγμένοις, ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησαν. καὶ ὅποι τις ἂν οἶμαι προσθῇ, κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν, ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις, καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτὴν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε ὦ ἄνδρες ἀθηναῖοι τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους. ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε, καὶ προῄρηται, πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος μακεδόνων βασιλεὺς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος. τοῖς δὲ, τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων, οὐ μέτεστι. κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω τε καὶ κάτω, λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν. οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως, ὅπως ἂν δύνωνται ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. οἱ μὲν οὖν πολλοὶ μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς. οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι, καὶ πεζέτεροι, δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοί, καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου. ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὑτοῦ δοκεῖν εἶναι τὰ ἔργα. πρὸς γὰρ αὐτοῖς ἄλλοις, καὶ τὴν φιλοτιμίαν τἀνδρός, ἀνυπέρβλητον εἶναι. εἰ δέ τις σώφρων, ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου,

Ayuntamiento de Madrid

καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι, καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον· λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας· καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρχεῖσθαι, τοιαῦτα οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι· δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον, καὶ τοιούτους ἀνθρώπους μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ἀσμάτων, ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ, καὶ περὶ αὐτὸν ἔχει· καίτοι ταῦτα εἰ καὶ μικρά τις ἡγεῖται, μεγάλα ὦ ἄνδρες ἀθηναῖοι δείγματα τῆς ἐκείνου γνώμης, καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν· ἀλλ' οἶμαι νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι, καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι πταίσει, τότε ἀκριβῶς αὐτοῦ ταῦτ' ἐξετασθήσεται. δοκεῖ δ' ἔμοιγε ὦ ἄνδρες ἀθηναῖοι δείξειν οὐκ εἰς μακράν, ἂν οἵτε θεοὶ θέλωσι, καὶ ὑμεῖς βούλησθε· ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν, ἕως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθέκαστα σαθρῶν, ἐπὰν δὲ ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρῶν ᾖ, οὕτω καὶ τῶν πόλεων, καὶ τῶν τυράννων· ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν· ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα. εἰ δέ τις ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή· μᾶλλον δὲ ὅλον, ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ἡμῶν αὐτῶν, καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνούσας, ἢ ἐκείνῳ· ἀλλ' οἶμαι καθήμεθα, οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' αὖ τὸν ἀργοῦντα, οὐδὲ φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μήτιγε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος, καὶ πονῶν ἐκεῖνος αὐτός, καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν μήθ' ὥραν παραλείπων, ὑμῶν μελλόντων, καὶ ψηφιζομένων, καὶ πυνθανομένων περιγίγνεται· οὐ δὴ θαυμάζω τοῦτο ἐγώ·

Ayuntamiento de Madrid

τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ, περιῆμεν. ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε ὦ ἄνδρες ἀθηναῖοι, ὑπὲρ τῶν ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἴδια πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξόν, οὐκ ἠθελήσατε. ἀλλ' ἵνα οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερα αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προεκινδυνεύετε στρατευόμενοι. νυνὶ δὲ ὀκνεῖτε ἐξιέναι, καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων. καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει. τὰ δὲ ὑμέτερα αὐτῶν ἀπολωλεκότες κάθησθε, ταῦτα θαυμάζω. καὶ ἔτι πρὸς τούτοις, εἰ μηδὲ εἷς ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι δύναται λογίσασθαι, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ἅπας ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ δή που τοῦθ', ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταῦτα ἅπερ νυνὶ ποιοῦντ', ὁ χρόνος ἅπας διελήλυθεν. εἶτα οὕτως ἀγνωμόνως ἔχετε ὦ ἄνδρες ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν, φαῦλα τὰ πράγματα γέγονε τῆς πόλεως, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε πράξεων, ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; ἀλλ' οὔτ' εὔλογον, οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε. πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκε. νυνὶ δὲ ὅ,τι μὲν φυλάξομεν, οὐδὲν ἐστὶν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον. κτήσασθαι δὲ δεῖ. αὐτῶν οὖν ὑμῶν τοῦτο ἔργον ἤδη. φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα. αὐτοὺς ἐξιέναι προθύμως. μηδένα αἰτιᾶσθαι, πρὶν ἂν τῶν πραγμάτων κρατήσητε. τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου, τιμᾶν. τοὺς δὲ ἀδικοῦντας, κολάζειν. τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα. οὐ γάρ ἐστι πικρῶς ἐξετάσαι, τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. τίνος γὰρ ἕνεκα ὦ ἄνδρες ἀθηναῖοι νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους; εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν. ὅτι ἐνταῦθα μὲν ἐστὶ τὰ ἆθλα ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα. Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε. οἱ δὲ κίνδυνοι, τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ'



Ayuntamiento de Madrid

οὐκ ἔστιν. ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους. τὰ δὲ λήμματα, τῶν ἐφεστηκότων, καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν. ἐπὶ οὖν τὸ λυσιτελοῦν αὐτοῖς, ἕκαστοι χωροῦσιν. ὑμεῖς δὲ ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε. ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε, ταῦτα ἀφίετε. περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν, καὶ διεστάναι. τοῖς μὲν, ταῦτα πεπεισμένοις. τοῖς δέ, ταῦτα. τὰ κοινὰ δὲ ἔχειν φαύλως. πρότερον μὲν γὰρ ὦ ἄνδρες ἀθηναῖοι εἰσφέρετε κατὰ συμμορίας. νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων καὶ στρατηγὸς ὑπὸ τούτῳ. καὶ οἱ βοηθησόμενοι, τριακόσιοι. οἱ δὲ ἄλλοι, προσνενέμησθε. οἱ μὲν, ὡς τούτους. οἱ δέ, ὡς ἐκείνους. δεῖ δὴ ταῦτα ἐπανέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους, κοινὸν καὶ τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν ἀποδώσετε, τοῖς δὲ ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι. τοῖς δέ, ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλοις δὲ μηδοτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ. τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει. εἶθ᾽ ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται. λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ᾽ ὧν ἕκαστος ἔχει τὸ ἴσον. πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε. πᾶσι τοῖς παριοῦσι λόγον διδόναι. καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι. μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ἡμῖν ἐχόντων.

## ΥΠΟΘΕΣΙΣ Λόγου Ὀλυνθιακοῦ Τρίτου.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ ἀθηναῖοι. καί τι κατορθοῦν ἔδοξαν δι᾽ αὐτῆς. καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρής, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίᾳ Φιλίππου. ὁ δὲ Δημοσθένης δεδοικώς, μὴ θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθών, ἐπισκώπτει τὴν ἀλαζονείαν αὐτῶν, καὶ πρὸς εὐλα-

Ayuntamiento de Madrid

βεῖαν σώφρονα τὴν γνώμην μεθίστησι. λέγων, οὐ περὶ τῆς Φιλίππου τιμωρίας, νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας. οἶδε γὰρ ὅτι καὶ ἀθηναῖοι, καὶ ἄλλοι πού τινές, τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι, ποιοῦνται φροντίδα. περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους, ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ, καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς, φανερώτερον ἅπτεται. καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους, τοὺς ἐπιτεθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά. ἵνα δεχθῇ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι, καὶ στρατεύεσθαι σώμασιν οἰκείοις. καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου, τέως ἐκλελυμένου, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΣ ΤΡΙΤΟΣ.

Οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν ὦ ἄνδρες ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους οὓς ἀκούω. τοὺς μὲν γὰρ λόγους, περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους. τὰ δὲ πράγματα, εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν, οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν ἁμαρτάνειν. ἐγὼ δ' ὅτι μέν ποτε ἐξῆν τῇ πόλει, καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς, καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα. ἐπ' ἐμοῦ γὰρ οὐχὶ πάλαι γέγονε ταῦτα ἀμφότερα. νῦν μέντοι πέπεισμαι, τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν. πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον. ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες ἀθηναῖοι, εἴπερ ποτὲ καὶ νῦν, πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. ἐγὼ δέ, οὐχ ὅτι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον ὦ ἄνδρες ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ



Ayuntamiento de Madrid

αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. ἀξιῶ δὲ ὑμᾶς ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας εἰ τἀληθῆ λέγω. καὶ διὰ τοῦτο ἵνα τὰ λοιπὰ βελτίω γένηται. ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα. ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε ὦ ἄνδρες ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θράκῃ, τρίτον, ἢ τέταρτον ἔτος τουτὶ, ἡραῖον τεῖχος πολιορκῶν. τότε τοίνυν, μὴν μὲν ἦν μεμακτηριών. πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν, αὐτοὺς ἐμβαίνειν. καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομβαιών, μεταγειτνιών, βοηδρομιών, τούτου τοῦ μηνὸς μόλις μετὰ τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε, ἔχοντα Χαρίδημον κενάς, καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν, καὶ τεθνεώς, ἦλθε γὰρ ἀμφότερα, οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε ὦ ἄνδρες ἀθηναῖοι τὸν ἀπόστολον. ἦν δ' οὗτος ὁ καιρὸς αὐτός. εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν ὥσπερ ἐψηφισάμεθα προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθείς. τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι. νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει. τίς οὗτος; δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησώμεθα ὦ ἄνδρες ἀθηναῖοι τούτῳ. εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα. οὔτε Φίλιππος ἐθάῤῥει τούτους, οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς, κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην. ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ. καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν, τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου. καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νῦν ὁπωσδήποτε. τί οὖν ὑπόλοιπον

Ayuntamiento de Madrid

ὦ ἄνδρες ἀθηναῖοι, πλὴν βοηθεῖν ἐῤῥωμένως, καὶ προθύμως, ἐγὼ μὲν οὐχ ὁρῶ. χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον ὦ ἄνδρες ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι θηβαίων ὑμῖν, ἀπειρηκότων δὲ χρήμασι φωκέων, μηδενὸς δ᾽ ἐμποδὼν ὄντος Φιλίππῳ, τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γινόμενα. καὶ βοηθοὺς αὑτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν. ἔτι μὲν γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου. ἀλλ᾽ ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν. τὸ δὲ ὅπως, τοῦτο λέγε. μὴ τοίνυν ὦ ἄνδρες ἀθηναῖοι θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθίστατε. ἐν δὲ τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον μηδένα. εἰσὶ γὰρ ὑμῖν ἱκανοί. ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς, λύσατε. λέγω δέ, τοὺς περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους. ὧν οἱ μέν, τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι, θεωρικά. οἱ δέ, τοὺς ἀτακτοῦντας, ἀθώους καθιστᾶσιν. εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους, ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, τηνικαῦτα τὸν γράψοντα ἃ πάντες ἴστε, ὅτι συμφέρει, ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε, τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ᾽ ὑμῶν ἀπολέσθαι βουλήσεται. οὐ γὰρ εὑρήσετε. ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακόν, τὸν ταῦτ᾽ εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. καὶ λύειν γε ὦ ἄνδρες ἀθηναῖοι τοὺς νόμους δεῖ τούτους αὐτοὺς ἀξιοῦν, οἵπερ καὶ τεθείκασιν. οὐ γάρ ἐστι δίκαιον, τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν. τὴν δ᾽ ἀπέχθειαν, δι᾽ ἧς ἅπαντες ἂν ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς ὦ ἄνδρες ἀθη-



Ayuntamiento de Madrid

ναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα, μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον, ὥστε εἰς προὖπτον κακὸν αὑτὸν ἐμβαλεῖν. οὐ μὴν οὐδ' ἐκεῖνό γε ὑμᾶς ἀγνοεῖν δεῖ ὦ ἄνδρες ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενός ἐστιν ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν, τά γε δόξαντα προθύμως ὑμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ περὶ ὧν γράφει διαπράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρά, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον. πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην, ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. τὸ γὰρ πράττειν, τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει. καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσιν ὦ ἄνδρες ἀθηναῖοι, δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν ὦ ἄνδρες ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ὑμῶν τὰ χωρία προείληφεν ἄνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα. οὐχ οὓς εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ὑμέτερα; οὐ βάρβαρος; οὐχ ὅ,τι ἂν εἴποι τις; ἀλλὰ πρὸς θεῶν ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους οἵτινές εἰσι τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι. σαφῶς οἶδα τοῦτ' ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, τῶν φευγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ. ἀλλὰ καὶ τοῦ στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον. ἥττηνται δ' ὅμως διὰ πάντας τοὺς φυγόντας δή που. μένειν γὰρ ἐξῆν, τῷ κατηγοροῦντι τῶν ἄλλων. εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα, ἀναστὰς ἄλλος εἰπάτω. μὴ τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις βελτίω, ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ. ἀλλ' οὐχ ἡδέα ταῦτα; οὐκ ἔτι τοῦθ' ὁ λέγων ἀδικεῖ. πλὴν εἰ δέον εὔξασθαι, παραλείπει. εὔξασθαι μὲν γὰρ ὦ ἄνδρες ἀθηναῖοι, ῥάδιον εἰς ταὐτὸ πάνθ' ὅσα βούλεταί τις ἀθροίσαντα ἐν ὀλίγῳ. ἑλέσθαι δὲ ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπο-

Ayuntamiento de Madrid

ρου. ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ ἀμφότερα ἐξῇ, λαμβάνειν. εἰ δέ τις ὑμῖν ἔχει τὰ θεωρικὰ ἐᾶν, καὶ πόρους ἑτέρους λέγειν στρατιωτικούς, οὐχ οὗτος κρείττων εἴποι τις ἄν; φημὶ ἔγωγε, εἴπερ ἐστὶν ὦ ἄνδρες ἀθηναῖοι. ἀλλὰ θαυμάζω εἴ τῳ ποτὲ ἀνθρώπων, ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις, ἡ παρ' ἑκάστου βούλησις. διόπερ ῥᾷον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι. ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται. τὰ δὲ πράγματα πολλάκις, οὐχ οὕτω πέφυκεν. ὁρᾶτε οὖν ὦ ἄνδρες ἀθηναῖοι ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται, καὶ δυνήσεσθε ἐξιέναι, καὶ μισθοὺς ἕξετε. οὔτοι σωφρόνων οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν. οὐδ' ἐπὶ μὲν Κορινθίους, καὶ Μεγαρέας, ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις. καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τηνάλλως προῄρημαι λέγειν, οὐ γὰρ οὕτως ἄφρων οὐδὲ ἀτυχής εἰμι ἐγώ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων. ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν, ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παρόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ τρόπῳ καὶ τῷ ἔθει τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. ἐξ οὗ δὲ οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσομαι; προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος, τὰ τῆς πόλεως πράγματα. καὶ τοιαυτὶ συμβαίνει. καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. καίτοι σκέψασθε ὦ ἄνδρες ἀθηναῖοι ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχῃ, τῶν ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις ὦ ἄνδρες ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. ἐκεῖνοι τοίνυν οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς, οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν ἑλλή-

Ayuntamiento de Madrid

των ἦρξαν ἑκόντων. πλείω δ' ἢ μυρία τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον. ὑπήκουε δὲ ὁ ταύτην ἔχων τὴν χώραν αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι. πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια, αὐτοὶ στρατευόμενοι. μόνοι δὲ ἀνθρώπων, κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν ἑλληνικῶν ἦσαν τοιοῦτοι. ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτήν, θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι. ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτε ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς περιουσίαν ἐπράττετο αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα, ἐκείνοις χρωμένοις, οἷς εἶπον προστάταις. νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν. ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, θηβαίων δὲ ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι. ἐξὸν δ' ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας. πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν, εἰς οὐδὲν δέον. οὓς δ' ἐν τῷ πολέμῳ ξυμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης, ἀπολωλέκασιν οὗτοι. ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω τίς ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος; ἀλλ' ὦ τάν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει, νῦν ἄμεινον ἔχει; καὶ τί ἄν τις εἰπεῖν ἔχοι τὰς ἐπάλξεις ἃς κονιῶμεν; καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς

Ayuntamiento de Madrid

τὰ τοιαῦτα πολιτευομένους. ὧν οἱ μὲν, ἐκ πτωχῶν πλούσιοι γεγόνασιν. οἱ δ᾽ ἐξ ἀδόξων, ἔντιμοι. ἔνιοι δὲ τὰς ἰδίας οἰκίας, τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται. τί δὴ τὸ πάντων αἴτιον τούτων; καὶ τί δήποτε ἅπαντ᾽ εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν. καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. νῦν δὲ τοὐναντίον. κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται. ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περιῃρημένοι χρήματα συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοηδρόμια πέμψωσιν οὗτοι. καὶ τὸ πάντ᾽ ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. οἱ δ᾽ ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς, ὑπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασεύουσι χειροήθεις αὐτοῖς ποιοῦντες. ἔστι δ᾽ οὐδέποτ᾽ οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας. ὁποῖ᾽ ἄττα γὰρ ἂν, τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. ταῦτα μὰ τὴν δήμητρα οὐκ ἂν θαυμάσαιμι, εἰ μεῖζον εἰπόντι ἐμοὶ γένοιτο παρ᾽ ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέσθαι. οὐ δὲ γὰρ παῤῥησία περὶ πάντων ἀεὶ παρ᾽ ὑμῖν ἐστι. ἀλλ᾽ ἔγωγε ὅτι καὶ νῦν γέγονε θαυμάζω. ἐὰν οὖν, ἀλλὰ νῦν γ᾽ ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν. καὶ ταῖς περιουσίαις οἴκοι ταύταις, ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν ἴσως ὦ ἄνδρες ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσεσθε ἀγαθὸν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν, σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ οὔτε ἰσχὺν ἐκεῖνα ἐντίθησιν, οὔτ᾽ ἀποθνήσκειν ἐᾷ. καὶ ταῦτα ἃ νέμεσθε νῦν ὑμεῖς οὔτε τοσαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ᾽ ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ. ἀλλ᾽ ἔστι ταῦτα τὴν ἑκάστου ῥαθυμίαν ὑμῶν ἐπαυξάνοντα. οὐκοῦν σὺ μισθοφορὰν λέγεις φήσει τίς; καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων ὦ ἄνδρες ἀθηναῖοι, ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ᾽ ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι, ἔξεστιν ἄγειν ἡσυχίαν. οἴκοι μένων εἶ βελτίων,



Ayuntamiento de Madrid

τοῦ διʼ ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος, συμβαίνει τὶ τοιοῦτον, οἷον καὶ τὰ νῦν, στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν. ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ᾽ ἐν ἴσῃ τάξει λαμβανέτω. πάντ᾽ ἐφορῶν καὶ διοικῶν ἃ χρὴ πράττεσθαι. ὅλως δέ, οὔτ᾽ ἀφελών, οὔτε προσθεὶς πλὴν μικρῶν, τὴν ἀταξίαν ἀνελών, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτήν. τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ᾽ ὅ,τι καθ᾽ ἡλικίαν ἕκαστος ἔχει, καὶ ὅτου καιρὸς εἴη τάξιν ποιήσας, οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιούντων εἶπον, ὡς δεῖ νέμειν, οὐδ᾽ αὐτοὺς μὲν ἀργεῖν, καὶ σχολάζειν, καὶ ἀπορεῖν. ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι ταῦτα πυνθάνεσθαι. ταῦτα γὰρ νυνὶ γίγνεται, καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν, ἀξιῶ πράττειν ταῦτα, ἐφ᾽ οἷς ἑτέρους τιμᾶτε. καὶ μὴ παραχωρεῖν ὦ ἄνδρες ἀθηναῖοι τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι, τῆς ἀρετῆς, μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον. σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. ὑμεῖς δέ, ἕλοισθε ὅ, τι καὶ τῇ πόλει καὶ ἅπασιν ὑμῖν συνοίσειν μέλλει.

Τέλος τῶν Ὀλυνθιακῶν λόγων.

## ΜΕΛΕΤΗ ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ.

Εἰ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ τρῶες, κἂν μετὰ μικρὸν εἶναι δίκαιος, οὔτ᾽ ἐκκλησίας νῦν ἔδει, οὔθ᾽ ὅπλων, οὔτε πρεσβείας. ἀλλ᾽ ἡμεῖς τ᾽ ἂν οἴκοι διετρίβομεν πᾶσιν ἀγαθοῖς, ὑμῖν τ᾽ ἂν ἔξω φόβων καθειστήκει τὰ πράγματα. ἐπειδὴ δὲ τοῦ δικαίου τάξιν δευτέραν πεποίηται τῆς ἡδονῆς, ἥκομεν μὲν ὦ τρῶες, ἀδικήσοντες μὲν οὐδένα, τὰ δὲ ἡμέτερα αὐτῶν κομιούμενοι, ἐάν περ ἄρα ἐξῇ. τὸ μὲν οὖν στρατόπεδον τῶν ἀχαιῶν ἀπὸ τῶν τειχῶν ὁρᾶτε δή που, καὶ τὸ πλῆθος ὅσον, καὶ τῆς παρασκευῆς τὸ μέγεθος. ἡμεῖς δὲ τοσαύτῃ προνοίᾳ χρώμεθα, τοῦ μηδὲν ἀνεπιεικὲς ποιεῖν, ὥστε καὶ τὰ ὅπλα παραστήσαντες, προτέροις χρώμεθα τοῖς λόγοις. ἵν᾽ εἰ μὲν ἀπὸ τῆς πρεσβείας τῶν δικαίων τύχωμεν, εὐθὺς ἀπίωμεν. εἰ δὲ μή, τά γε δεύτερα πράττωμεν.

Ayuntamiento de Madrid

οὔτε γὰρ εἰς ἔργον παραχρῆμα καθίστασθαι τῶν ἡμετέρων τρόπων. ἀπρά-
κτου δὲ τῆς πρεσβείας ἀπελθούσης, ἡσυχάζειν οὐκ ἔνεστιν. ἔστι τοίνυν
ἐφ' ὑμῖν, ἢ περὶ πλείονος ποιήσασθαι τὴν ἡδονὴν Ἀλεξάνδρου τῆς ὑμε-
τέρας αὐτῶν ἀσφαλείας, ἢ μετὰ τῆς Ἑλένης ἀπηλλάχθαι καὶ τοῦ πο-
λέμου. μέχρι μὲν οὖν τῆς παρούσης ἡμέρας Ἀλεξάνδρῳ μόνῳ τὴν ἁρ-
παγὴν λογιζόμεθα, καὶ τῶν εἰς ἡμᾶς ἠσελγημένων, οὐθὲν ἀπὸ τοῦ κοινοῦ
τῶν Τρώων πεποιῆσθαι νομίζομεν. τὸ δὲ τῆς νῦν ἐκκλησίας τέλος, ἢ βε-
βαιώσει ταύτην τὴν δόξαν, ἢ τὸ ἔργον ἐκείνου, τὸ δὲ βούλευμα κοινὸν
ἁπάντων ἀποδείξει. ἐν μὲν γὰρ τῷ τὴν Ἀλεξάνδρου θεραπεύειν χά-
ριν, κοινωνεῖν ἔστι τῶν πεπραγμένων. ἐν δὲ τῷ παρὰ τὴν ἐκείνου γνώμην
μέτριόν τι ποιεῖν ἐθέλειν, ἐκείνῳ τὴν μέμψιν ὁρίζει. αἰεὶ μὲν οὖν ἔμοι γε
συνηθές, μὴ μακροὺς ὑπὲρ τῶν πραγμάτων ἀποτείνειν τοὺς λόγους. καὶ
τοῦτ' εἰκότως οὕτω μοι δοκῶ ποιεῖν, ὑπὲρ μὲν γὰρ τῶν ἀδίκων, οὐδ' ἂν
εἴποιμι τὴν ἀρχήν. τὰ δὲ δίκαια, καὶ βραχείας ἡγοῦμαι δεῖσθαι ῥήσεως.
οἶμαι δὲ εἰ καὶ μακρολογεῖν εἰώθειν, τὸ δὲ παρὸν συστεῖλαι ἂν ὡς ἐλά-
χιστον τοὺς λόγους. τουτὶ γὰρ μόνον τῶν ἁπάντων οὐδὲν ἀπαιτεῖ δύσ-
κολον, οὐδὲ σοφὸν, ἀλλ' ἀπὸ ψιλῆς ἐρωτήσεως, ἑλεῖν ἔστι τὸν ἀνθιστάμε-
νον. καί μοι ἀπόκρινε πρὸς διὸς ξενίου Ἀλέξανδρε. ἔλαβές τι τῶν οὐ
σοὶ προσηκόντων; οὐκοῦν ἀπόδος. ἔλαβες ἀδίκως; οὐκοῦν προσοφείλεις
δίκην. δεῖ γὰρ δή που δυοῖν θάτερον, ἢ μηδὲν εἰληφέναι δεικνύειν, ἢ
τοῦθ' ὁμολογοῦντα, μηδὲν ἀντιτείνειν ἔτι. ὡς μὲν οὖν οὐκ ἀφείλου μὲ
τὰ τιμιώτατα πάντων, οὐκ ἀξιώσεις ἀρνεῖσθαι. ἀκούω γὰρ σεμνύνεσθαί
σε τοῖς ἀδικήμασι. τούτου δὲ οὕτως ἔχοντος, ὁ τοῦ δικαίου λόγος, ἀπο-
στῆναί σε τῶν ἡμετέρων ἔταξεν, ἐφ' ἃ τῷ κοινῷ μὲν νόμῳ τῶν ξένων εἰ-
σεδέχθης, διέθηκας δὲ, τῶν πολεμίων πικρότερον. μὴ γὰρ οἴεσθε τὴν
ἐπιβουλὴν αὐτὸν ἡμῖν ἐμφανῆ καταστήσαντα, τοσαῦτα δεδύνησθαι. μὴ
δὲ οὕτω μήτε τοῦτον εἶναι θαυμαστόν, μήθ' ἡμᾶς ὑπλίους, ὡς τοῦτον μὲν ἐκ
προρρήσεως ταῦτ' ἂν ποιῆσαι, ἡμᾶς δὲ προειδότας ταῦτ' ἂν παθεῖν. ἀλ-
λ' ὅπως ἔχει τὸ πρᾶγμα ἀκούσατε. Ἀλέξανδρος οὐχ ὡς ἔμελλε τἀ-
ληθὲς φυλάξειν, ἀλλ' ὡς ᾤετ' αὐτῷ συνοίσειν. οὕτως ἴσως πρὸς ὑμᾶς
ἀπήγγελκε, κλέπτων ψευδολογίᾳ τὴν πονηρίαν. οὐδεὶς γὰρ πώποτε τῶν
ἠδικηκότων ὡμολόγηκεν, ἃ τετόλμηκεν. ἀλλὰ πάντα τρόπον διαστέ-
φουσι τἀληθές, ἐκ μὲν τῶν ἀδικημάτων πλέον ἔχειν. ἐκ δὲ τῆς ἀρνήσεως



Ayuntamiento de Madrid

χρηστοὶ δοκεῖν εἶναι βουλόμενοι. αὐτὸ μὲν τὸ πρᾶγμα τοῦτον ἐσκευωρήθη τὸν τρόπον. κατέπλευσεν εἰς τὴν λακωνικὴν Ἀλέξανδρος, σχῆμα περιβεβλημένος οὐ φαῦλον, καὶ θεραπείαν ἐπαγόμενος. ἀφ' ἧς εἰκάζετο, οὐ τῶν τυχόντων εἶναι. ἀναβὰς δὲ εἰς τὴν Σπάρτην, τάτε ἄλλα πρὸς τοὺς προτυγχάνοντας ἐφιλανθρωπεύετο, καὶ πραότητα πολλὴν, καὶ σωφροσύνην πλαττόμενος, ἐδεῖτο ξενίζεσθαι. ἀκούων δ' ἐγὼ ταῦτα, καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ προσήκειν ἡγούμενος τῷ ξένῳ πάντα ὑπηρετεῖν, ἀνέῳξα τὴν οἰκίαν, καὶ εἰσῆγον ἄσμενος ἐπὶ παῖδα, καὶ γυναῖκα, τὰ τιμιώτατα, οὐδὲν ὦ τρῶες ἐννοῶν ὧν ὕστερον ἔπασχον. συναγωγέα γὰρ τοῦ πράγματος ἡγούμενος εἶναι τὸν δία, τὴν αὐτὴν ᾤμην αἰδῶ σώζεσθαι πρὸς τὸν θεόν, ὑπό τε τοῦ δεξαμένου τὸν ξένον, καὶ τοῦ τετυχηκότος φιλανθρωπίας, μᾶλλον δὲ πλείω παρὰ τοῦ ξένου, ὅσονπερ ὁ παθὼν εὖ τοῦ πεποιηκότος μείζω κεκέρδαικεν. ἐπεὶ καὶ νῦν ὑμεῖς ἐγώ τε καὶ Ὀδυσσεὺς Ἀντήνορα τουτονὶ τὸν βέλτιστον, πῶς οἴεσθε θαυμάζομεν, καὶ συνευχόμεθα τὰ βελτίω. καὶ βουλοίμεθ' ἂν αὐτῷ μηδὲν τοιοῦτο περὶ τὸν οἶκον συμβῆναι. οὕτω τοίνυν καλὴν ἐμοῦ δεξιότητα περὶ τὸν ξένον ἐνδεικνυμένου, καὶ τοῦ χρόνου προϊόντος, εἰπάτω παρελθὼν Ἀλέξανδρος, εἴτινος δεηθεὶς ἠτύχησεν. εἰ τῷ πλείονι τῆς διατριβῆς δυσχεραίνοντες, ὤφθημεν. ἢ μικρὸν ἢ μεῖζον ἀποστραφέντας, ἤσθετο. εἰ μικροψυχίαν ὑμῶν οἶδε καταγούς. εἰ πρὸς ἑαυτὸν ἐνιδὼν ἀδικίαν. εἴτινος ὅλως ἐπιλαμβάνεται τῶν περὶ ταῦτα λεγέτω, δεικνύτω, καὶ πολλοστὸν ὧν ὀφείλομεν ὁμολογήσομεν πεπονθέναι. ἀλλ' οὐκ ἂν ἔχῃ. διόπερ οὐκ ἀνίσταται. Ὄντων οὖν ἡμῶν ἀφυλάκτων, ὡς ἂν πρὸς τὸν φίλον καὶ γνώριμον, καὶ τῆς πίστεως εἰς ῥαθυμίαν ἀγούσης, πῶς ἄν τις χρήσαιτο τοῖς λοιποῖς, μετέθηκεν ὦ τρῶες τὸν περὶ ταῦτα θεσμὸν εἰς πᾶν τοὐναντίον, καὶ ἠμείψατο τὴν μὲν φιλανθρωπίαν ἀδικίᾳ, τὴν δὲ φιλοξενίαν πονηρίᾳ, τὴν δ' ὑποδοχὴν ἁρπαγῇ, τὴν δὲ τιμὴν ὕβρει, τὴν δὲ πίστιν ὠμότητι, οὐ θεοὺς φοβηθεὶς, οὐ τοὺς εὖ πεποιηκότας αἰδεσθεὶς, οὐχ ὑμᾶς αἰσχυνθεὶς, οὐ τὸν πατέρα Πρίαμον. ὃν ἀκούομεν περί τε τὸ θεῖον ἐσπουδακέναι, καὶ ὅλως ἐν φροντίδι πεποιῆσθαι τὸ μηδὲν δοκεῖν ἐξαμαρτεῖν. ταῦτα πάντα καὶ ἔτι πλείω τούτων παρὰ φαῦλον θέμενος, ἀφείλετο μὲν τὸ γυναίκιον, προσαφείλετο δὲ χρημάτων ὄγκον.

Ayuntamiento de Madrid

οἰκέτας δὲ σιωπῶ, καὶ πολλὰ πρὸς τούτοις. τί γὰρ ἄν τις μηκύνοι πρὸς ἀκριβῶς εἰδότας; ἐκ γὰρ ὧν ἧκεν εἰς ὑμᾶς ἄγων, ὅσων ἡμᾶς ἀπεστέρηκεν, ἔδειξε. καὶ πλουτεῖ νῦν ἐκ τῶν ἡμετέρων κακῶν. καὶ ὅστις βούλεται τὴν παροινίαν σαφῶς καταμαθεῖν, οὐχ ἑτέρου δεήσεται. ἀλλ᾽ εἰσελθὼν οἴκαδε, ὡς Ἀλέξανδρον ἐρέσθω. τουτὶ γὰρ τὸ γύναιον ὦ τᾶν πόθεν ἔχεις λαβών; ἆρ᾽ ὥσπερ ὁ πατήρ σου τῇ μητρὶ τῇ σῇ συνῴκηκεν, οὕτω καὶ αὐτὸς Ἑλένῃ συζῇς νόμου κοινωνίας ἡγησαμένου; ἢ γὰρ ψεύσεται τὴν πρᾶξιν αἰσχυνόμενος, ἢ τἀληθῆ λέγων ὁμολογήσει τὸ κακούργημα. μηδεὶς δὲ ὑμῖν, εἰ μετὰ παῤῥησίας οἱ λόγοι γίγνοιντο, τοῦτο ποιείσθω δυσχερές. πρῶτον μὲν γὰρ οὔτ᾽ ἂν ἡμεῖς τῶν δικαίων τύχοιμεν, οὔτ᾽ ἂν ὑμεῖς ἃ προσήκει γνοίητε, εἰ μὴ τοὺς προσήκοντας λόγους τὰ πράγματα λάβοι. ἔπειτα δὲ ἐντεῦθεν, καὶ μάλιστ᾽ ἄν τις κατίδοι πόσην ἔχῃ τὰ πεπραγμένα τὴν ἀτοπίαν. εἰ γὰρ ἐάν τις ἃ πέπονθεν ἀποκεκαλυμμένως εἴπῃ, τοῦτο τῶν δεδρακότων ὕβρις, πῶς εἰκὸς τοὺς πεπονθότας, ὑπ᾽ αὐτῶν τῶν ἔργων διακεῖσθαι; χωρὶς δὲ τούτων, οὐκ ἔνι τὴν πρεσβείαν φανῆναι δικαίαν, ἂν μὴ τὸν εἰργασμένον ἀδικοῦντά τις ἐπιδείξει. ὁρᾶτ᾽ οὖν, ὡς ἁπλᾶ καὶ δίκαια παρεχόμεθα. δύο γὰρ δή που τοὺς ἐγκαλουμένους ἀφιέναι τῆς αἰτίας πέφυκεν, ἢ τὸ μηδοτιοῦν πεποιηκέναι τὴν ἀρχήν, ἢ τὸ τῆς δικαίας εἶναι τὰ πεπραγμένα τάξεως. ὅταν οὖν μήτ᾽ ἀρνεῖσθαι τὴν ἁρπαγὴν οἷός τε, μήθ᾽ ὡς οὐκ ἀδίκως ἐτολμήθη διδάσκειν, δῆλον δή που τὸ λειπόμενον. τίς οὖν ὁ σεμνὸς λόγος; ἔλαβον, φησί, καὶ ἔχω, καὶ μὴ ἐνόχλει. ἀλλ᾽ οὐκ ἀρκεῖ λαβεῖν, οὐδ᾽ ἔχειν Ἀλέξανδρε. ἔστι γὰρ καὶ λαβεῖν, ὅθεν οὐκ ἄξιον, καὶ ἔχειν τἀλλότρια. οὐ γὰρ ἐν τῷ λαβεῖν ἐστι τὸ δικαίως κτήσασθαι, ἀλλὰ τῷ χωρὶς ἐγκλημάτων ἔχειν. οὔκουν δεῖ τὴν λῆψιν ἁπλῆν σκοπεῖν, ἀλλὰ πολὺ πρὸ ταύτης τὸν τρόπον. ἀπὸ γὰρ τούτου κἀκείνη δοκιμάζεται. ὁρᾷς ὡς οὐδὲ τοῖς ἱεροσύλοις ἀκίνδυνον τὸ τὰ τῶν θεῶν εἰληφέναι, καίτοι γε, εἰ τὸ ἔχειν ἰσχυρὸν ἦν, ἐχρῆν ὁμολογοῦντας ἔχειν ἀπηλλάχθαι πραγμάτων. ἀλλ᾽ οἶμαι, τοῦτ᾽ ἔστι, καὶ οὐδὲν ἔγκλημα ἄρα, τὸ τὰ μὴ προσήκοντα ἔχειν. οὕτως οὐκ ἀρκεῖ τὸ λαβεῖν, ἀλλὰ προσεῖναι δεῖ τὸ χωρὶς ἀδικήματος. οὐδὲ γάρ, εἰ τὸν πατέρα τὸν αὐτοῦ παρώσας Ἀλέξανδρος, καὶ τὸ σκῆπτρον ἁρπάσας, αὐτὸς ἀντ᾽ ἐκείνου τοῖς ὑμετέροις ἐφεστηκέναι πράγμασιν ἠξίου, μέτριον ἀντιποιεῖν ἐνομίσθη καὶ ἀνεκτόν. οὐδ᾽ ἂν



Ayuntamiento de Madrid

ἤνεγκε σιωπῇ οὔτε Πρίαμος, ὁ ἠδικημένος, οὔθ' ὑμεῖς οἱ συνειδότες· ἀλλ' εὐθὺς ἂν ἅπαντες ᾤεσθε δεῖν καταλύειν, ὡς οὐχ ὅσια ποιοῦντα. μηδέ που λέγε, ὡς ἔλαβες· ἀλλ' ὡς οὐκ ἠδίκηται δεῖξον. τὸ γὰρ δίκαιον, ἄντ' ἐπ' ἐμοῦ τίς, ἄντε πριάμου λογίσεται, τὴν αὐτὴν ἰσχὺν ἔχει. καὶ μὴν πολέμιοι φησὶν ὑμεῖς, οἱ ταύτην ἔχοντες τὴν ἤπειρον, καὶ ἡμεῖς τὴν ἑτέραν. τὰ δὲ τῶν δυσμενῶν ἔξεστιν ἄγειν, καὶ φέρειν, καὶ ληΐζεσθαι καλῶς. παρὰ δὲ τοῖς ἐχθροῖς Ἀλέξανδρε καταλύειν ἔξεστι, καὶ ξενίων τυγχάνειν, καὶ φιλανθρωπίας ἀξιοῦσθαι; σὺ τοίνυν ὧν ἐδεήθης, τούτων ἔτυχες. ἐχρῆν δέ σε ὦ βέλτιστε τὴν ἀρχὴν ἀποφεύγειν οἰκίαν ἀνδρὸς δυσμενοῦς, καὶ μηδαμῶς ἀγαπᾶν τὰς παρὰ τῶν πολεμίων εὐεργεσίας, μηδὲ ὁμοφόριον γίγνεσθαι τοῖς ἐκ παλαιῶν χρόνων, ὡς σὺ φής, εἰς ἔχθραν διῃρημένοις. ἢ πότε μὲν ὡς ἐπιτηδείοις ἐχρῶ, μικρῷ δὲ ὕστερον ὡς πολεμίοις; καὶ μὴν οὐδὲν ἐν τῷ μεταξὺ παρ' ἡμῶν εἰς σὲ δυσχερὲς ὑπῆρξεν, οὐδ' ἂν ἔχοις εἰπεῖν. εἰ μὲν οὖν ἐξ ἀρχῆς πολεμίους ἐνόμιζες, τί οὐκ ἔλεγες; τί δὲ οὐ σύμφωνον παρεῖχου τὴν γνώμην τῷ σχήματι; εἰ δὲ ὕστερον μεταβαλὼν, ᾤου δεῖν λυπεῖν, εἰπὲ πρὸς θεῶν, ἀνθ' ὅτου; ἀλλ' οὐκ ἂν ἔχοις. ἀλλὰ πρᾶγμα πάντων ἀνοσιώτατον, εἰς νοῦν λαβὼν, εἰσῆλθες μὲν ὡς ξένος. ἀπῆλθες δὲ ὡς δυσμενής. κλέψας δὲ τὴν ἐπιβουλὴν, εὔφημον ὄνομα τοῖς κακουργήμασι τίθεσαι. ἀλλ' οὐ δὴ πείσεις οὐδένα ἀνθρώπων. πόθεν; οὐ γὰρ τοῖς ῥήμασιν ἕπεται τῶν ἀνθρώπων ἡ φύσις. τῇ δὲ φύσει τὰς προσηγορίας ἀκολουθεῖν ἄξιον. εἰ μὲν οὖν πλοίοις μακροῖς, καὶ στρατοπέδῳ καταλάμποντι τοῖς ὅπλοις προσενεχθεὶς τῇ λακεδαίμονι, καὶ τὴν ἔχθραν ἐν φανερῷ καταστήσας, καὶ χεῖρα ἀνταράμενος, καὶ βέλος ἀφιεὶς, καὶ δόρυ δεξάμενος, ἐνεγκὼν, ἢ τῆς τύχης, ἢ τῆς ἀρετῆς νικῆσαι παρασχούσης, εἷλε μὲν τὸ ἄστυ, τῶν δὲ σωμάτων ἐκράτησεν, ἐν λαφύρων δὲ μέρει τὴν ἑλένην ἐκτήσατο, ἐχέτω. τρυφάτω. ληροῦμεν ἡμεῖς, ἔγκλημα ποιούμενοι τοῦ πολέμου τὰ ἆθλα. εἰ δὲ πάντα εἰρηναῖα προδείξας, τὸν κατάπλουν, τὴν σκευὴν, τοὺς λόγους, τὸ σχῆμα, τὴν ὁμιλίαν, τὰς διατριβὰς, ἐναντίον ἐξήγαγε τῶν προοιμίων τὸ τέλος, ἴστω ὅτι πολὺ διενήνοχε νίκη κλοπῆς, καὶ πολέμου κράτος μεμηχανημένης ἀπάτης. τὸ μὲν γὰρ, τοῦ κρείττονος ἀπόδειξιν ἔχει. τὸ δέ, τοῦ χείρονας εἶναι τοὺς ἀπάτῃ πειρωμένους ἑλεῖν, ἃ δι' ἀνδρείας οὐ δεδύνην-

Ayuntamiento de Madrid

ται. τὸ μὲν οὖν εἰς τοὺς κρείττους τὰ τῶν ἡττόνων εἶναι κτήματα, λόγον ἴσως ἂν ἔχοι, καὶ δίδωσιν ὁ τοῦ πολέμου νόμος. τὸ δὲ τοὺς μηδ' ὁμολογῆσαι τὴν ἔχθραν ὑπομείναντας, τὰ τῶν βελτιόνων λαμβάνειν, εἰς ἀδικήματα τελεῖ, καὶ δέοιτ' ἂν ζημίας. ὅτι μὲν οὖν ὑβριζόμενοι, καὶ τὰ δεινότατα πεπονθότες ἐστρατευσάμεθα εἰς γῆν τὴν ὑμετέραν, καὶ οὐκ ἄρχοντες, ἀλλ' ἀμυνόμενοι, καὶ ὅτι πλὴν ἀναισχυντίας οὐδὲν Ἀλεξάνδρῳ λείπεται, πολλαχόθεν οἶμαι δῆλον εἶναι. ἡμεῖς δὲ πρὸ τῶν χειρῶν τοῖς λόγοις χρώμεθα πολλῶν ἕνεκα. πρῶτον μὲν γὰρ, τὰ δίκαια τῷ λόγῳ πειρᾶσθαι λαμβάνειν, ἀλλὰ μὴ τοῖς ὅπλοις ἐπιπηδᾶν, ἀνθρωπινώτερον δήπουθεν. δεύτερον δὲ οὐκ ἄξιον κρίνομεν, ὧν εἰς ἠδίκησε, παρὰ πάντων τὴν δίκην λαμβάνειν. ὅπερ εἰς πολέμων κατάστασιν ἀναγκαῖον ἤδη γίγνεται. οὐ γὰρ ἔνεστι, τηνικαῦτα τοὺς αἰτίους φιλοκρινεῖν, ἀλλ' ἀνάγκη τοὺς παραπεπτωκότας ἀπολωλέναι. ἵνα δὲ μὴ τοῦτο γένηται, μηδ' ὧν οὐκ ἄν τις βούλοιτο λυπῆσαί τινα προαχθῇ, πρεσβείᾳ, καὶ ψήφῳ δεξάμεθ' ἂν τὰ διάφορα κριθῆναι. πρὸς δὲ τούτοις μεγάλην μὲν ῥοπὴν ἐν τοῖς τοῦ πολέμου πράγμασι τὴν εὔνοιαν τοῦ θεοῦ ἡγούμεθα. ταύτην δὲ ὁρῶμεν, οὐ τοῖς θρασυτέροις, ἀλλὰ τοῖς ἐπιεικεστέροις ὑπάρχουσαν. διὰ τοῦτο τὸν θυμὸν ἐπισχόντες, ἀπὸ πρεσβείας ἀρχόμεθα. ἵν' εἰ μὲν ἀρκέσειεν αὐτὴ πρὸς τὸ τῶν ἀμφισβητησίμων πέρας, μηδενὸς ἔτι προσδεήσει. εἰ δὲ μή, τῇ τῆς δαιμονίου συμμαχίᾳ, διὰ τὴν ἐπιείκειαν, πιστεύοντες, οὕτως ἤδη πρὸς τὰ δεύτερα τρεπώμεθα. ὁρᾶτ' οὖν ἀμφότερα, καὶ παραθέντες τῷ συλλόγῳ τὰς μάχας, καὶ τοῖς λόγοις τὰ ὅπλα, καὶ πρὸς τὴν παροῦσαν εὐδαιμονίαν ἀπιδόντες, καὶ τὴν ἀπ' ἐκείνων δυσχέρειαν ἐξετάζοντες, ἕλεσθε τοῦ κρείττονος. δεῖ δὲ ὦ Τρῶες ὑπὲρ τῶν τοιούτων, μὴ ῥαθύμως βουλεύεσθαι, ἐκεῖνο εἰδότας, ὡς οὐκ ἔστιν ἅπαξ ἁμαρτάνοντας, αὖθις γενέσθαι βουλῆς κυρίους. πρὶν μὲν γὰρ ἅψασθαι τοῦ πολεμεῖν, ἔνεστιν ἐν αὐτῷ καθάπαξ μὴ περιπεσεῖν, λογισμῷ βελτίονι τὸ πρόσω ἀναστείλαντας. εἰσελθόντας δὲ εἰς τὸ ἔργον, αὐτὰ τὰ πάθη κατέχει μέχρι πόῤῥω. καὶ τῇ νίκῃ τὰ πολλὰ κρίνεται τὸ τέλος. ἀλλ' οὐ κατὰ συνθήκας μετρίας. ὁρᾶτ' οὖν μὴ παρὸν γνῶναι τὰ δέοντα, πολεμεῖν ἔλθητε, τῷ πολέμῳ δὲ λυπηθέντες αὖθις ἐπιθυμήσητε βουλεύσασθαι, ἡνίκα τοῦτο οὐχ ἕξετε.

Ayuntamiento de Madrid

μάλιστα μὲν γὰρ, εἰ μηδεὶς ἐπῆν ἀγὼν, μηδὲ κίνδυνος, ἐχρῆν αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἰδεσθῆναι. τοῖς γὰρ οὕτω γνώμης ἔχουσιν, ἐξ οὐρίας φιλεῖ τὰ πράγματα φέρεσθαι. νῦν δέ γε, εἰ δεῖ μὴ ληρεῖν, οὐδὲ βουλομένοις ἡμῖν ἔνεστιν ἑτέρως ποιεῖν. οὐχ ὁρᾶτε τοὺς ἀχαιοὺς κατὰ τῆς ἠϊόνος, καὶ τοῦ πεδίου κεχυμένους, καὶ μικρὸν ἀποφαίνοντας τῷ πλήθει τὸν χῶρον; οὗτοι πάντες, ἐκ πολλῶν μὲν συνεληλύθασι πόλεων, μίαν δὲ γνώμην ἐσχήκασιν ἀμῦναι τοῖς ὑβρισμένοις εἰς τέλος. καὶ τοσαύτη μὲν προθυμία κέχρηνται πρὸς τὰ πράγματα, ὅση καὶ χωρὶς ὅρκων ἤρκεσεν ἄν. τοσαύτη δὲ ἡ τῶν ὅρκων ἀνάγκη, ὅση καὶ μὴ βουλομένους προθυμεῖσθαι πάντως ἂν ἐπηνάγκασε. τίς οὕτως ἠλίθιος, ὅστις οὐκ ἂν ἕλοιτο χωρὶς τοῦ παθεῖν τι δεινὸν ἀποδοῦναι ταῦτα, ὧν μετὰ συμφορᾶς ἀποστήσεται; ὅτι μὴ δ' ἄδηλον τὸ τοῦ πολέμου τέλος. οὐ μὰ τοὺς θεούς. οὐδαμοῦ τὸ τοῦ παρόντος ἄδηλον, ὅτι μηδὲ τοῦτ' ἄδηλον, πότερον ὁ τῆς δικαιοσύνης καρπὸς, ἢ τῆς πονηρίας ἀμείνων. καὶ πρότερον ἐκείνην τὴν πρᾶξιν τιμᾷ, ἢ τοῖς τάδε πράττουσι συναίρεται. εἰ γὰρ μηδ' ἕτερον τούτων ἀμφισβητήσιμον, κἀκεῖνο σαφὲς εὐθὺς τὸ μεθ' ὧν ἂν ἡ τοῦ κρείττονος μερὶς, τούτῳ ἀποκείσεσθαι τῶν ἐναντίων κρατεῖν. περὶ τοίνυν τῶν συμμαχησάντων ὑμῖν, οἶμαι γάρ τινας ἐννοεῖν ὡς οὐκ ὀλίγους ἕξετε βοηθοὺς, ἐκεῖνο λέγω, ὅτι κἂν ἅπαν τὸ λοιπὸν στρατόπεδον ἡσυχίαν ἀγείη, Ὀδυσσεὺς οὑτοσὶ μόνος, γελῶντα τοὺς ὑμετέρους ἀποφανεῖ συμμάχους τῇ συνέσει τὸ πλῆθος ἐλέγχων. ταῦτ' οὔτ' ὀκνῶν τὸν πόλεμον, οὔτ' ἐπιθυμῶν πραγμάτων εἴρηκα. πλείω μέντοι διεξιέναι, πρόχειρον μὲν, μάταιον δὲ καὶ κενόν.

εἰ γὰρ μὴ τούτοις προσέξετε τὸν νοῦν, οὐδὲ τοῦ πλείονος οὐδὲν
ὄφελος. μαρτύρομαι δὲ Δία τε ξένιον, καὶ πάντας θεούς
τε, καὶ δαίμονας, ὅσοι τήνδε κατέχουσι τὴν γῆν,
ὅτι καὶ τὴν ἀρχὴν ἀδικούμενοι προσέχομεν
Ἰλίῳ, καὶ νῦν λόγῳ διαλύεσθαι προ-
αιρούμεθα, καὶ πολεμήσομεν
ἑτέρων ἀναγκα-
ζόντων.

Τῆς μελέτης τέλος.

Ayuntamiento de Madrid

# ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ κατὰ Εὐνομιανῶν προσδιάλεξις.

π Ρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος. καὶ ἵνα ἀπὸ τῆς γραφῆς ἄρξωμαι. ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν. εἰσὶ γὰρ εἰσί τινες οἱ τὴν ἀκοὴν προσκνώμενοι καὶ τὴν γλῶσσαν, ἤδη δὲ ὡς ὁρῶ καὶ τὴν χεῖρα, ταῖς βεβήλοις κενοφωνίαις καὶ ἀντιθέσεσι, τῆς ψευδωνύμου γνώσεως. καὶ ταῖς εἰς οὐδὲν χρήσιμον φερούσαις λογομαχίαις. οὕτω γὰρ ὁ Παῦλος καλεῖ, πᾶν τὸ ἐν λόγῳ περιττὸν καὶ περίεργον. ὁ τοῦ συντετμημένου λόγου κῆρυξ καὶ βεβαιωτής. ὁ τῶν ἁλιέων μαθητὴς καὶ διδάσκαλος. οὗτοι δέ, περὶ ὧν ὁ λόγος, εἴθε μέν, ὥσπερ τὴν γλῶσσαν εὔστροφον ἔχουσι, καὶ δεινὴν ἐπιθέσθαι λόγοις εὐγενεστέροις τε καὶ δοκιμωτέροις, οὕτω τι καὶ περὶ τὰς πράξεις ἠχολοῦντο μικρὸν οὖν. καὶ ἴσως ἧττον ἂν ἦσαν σοφισταὶ καὶ κυβισταὶ λόγων ἄτοποι καὶ παράδοξοι. ἵν᾽ εἴπω τι καὶ γελοίως περὶ γελοίου πράγματος. ἐπεὶ δέ, πᾶσαν εὐσεβείας ὁδὸν καταλύσαντες, πρὸς ἓν τοῦτο βλέπουσι μόνον, ὅ,τι δήσουσιν ἢ λύσουσι τῶν προβαλλομένων, καθάπερ ἐν τοῖς θεάτροις οἱ τὰ παλαίσματα δημοσιεύοντες, καὶ τῶν παλαισμάτων οὐχ ὅσα πρὸς νίκην φέρει κατὰ νόμους ἀθλήσεως, ἀλλ᾽ ὅσα τὴν ὄψιν κλέπτει τῶν ἀμαθῶν, τὰ τοιαῦτα καὶ συναρπάζει τὸν ἐπαινέτην. καὶ δεῖ πᾶσαν μὲν ἀγορὰν περιβομβεῖσθαι τοῖς τούτων λόγοις, πᾶν δὲ συμπόσιον ἀποκναίεσθαι φλυαρίᾳ καὶ ἀηδίᾳ, πᾶσαν δὲ ἑορτὴν καὶ πένθος ἅπαν, τὴν μέν, ἀνέορτον εἶναι καὶ μεστὴν κατηφείας, τὸ δέ, παραμυθεῖσθαι συμφορᾷ μείζονι, τοῖς ζητήμασι, πᾶσαν δὲ διοχλεῖσθαι γυναικωνῖτιν ἁπλότητι σύντροφον, καὶ τὸ τῆς αἰδοῦς ἄνθος ἀποσυλᾶσθαι τῇ περὶ λόγον ταχύτητι. ἐπειδὴ ταῦτα οὕτω, καὶ τὸ κακὸν ἄχετον, καὶ ἀφόρητον, καὶ κινδυνεύει τεχνύδριον εἶναι τὸ μέγα ἡμῶν μυστήριον, φέρε τοσοῦτον γοῦν ἡμῶν ἀναχέσθωσαν οἱ κατάσκοποι σπλάγχνοις πατρικοῖς κινουμένων, καὶ ὅ φησιν ὁ θεῖος Ἱερεμίας, σπαρασσομένων τὰ αἰσθητήρια. ὅσον μὴ τραχέως τὸν περὶ τούτων, δέξασθαι λόγον. καὶ τὴν γλῶσσαν μικρὸν ἐπισχόντες, ἂν ἄρα δύνωνται, τὴν ἀκοὴν ἡμῖν ὑποθέτωσαν. πάντως δὲ οὐδὲν ζημιωθήσεσθε. ἢ γὰρ εἰς ὦτα ἐλαλήσαμεν ἀκουόντων. καί τινα καρπὸν ἔχεν ὁ λόγος, τὴν ὠφέλειαν τὴν ὑμε-



Ayuntamiento de Madrid

τέραν. ἐπειδὴ σπείρει μέν, ὁ σπείρων τὸν λόγον, ἐπὶ πᾶσαν διάνοιαν. καρποφορεῖ δὲ ἡ καλή τε καὶ γόνιμος. ἢ ἀπήλθετε καὶ τοῦτο ἡμῶν διαπτύσαντες, καὶ πλείονα λαβόντες ὕλην ἀντιλογίας τε καὶ τῆς καθ' ἡμῶν λοιδορίας. ἵνα καὶ μᾶλλον ὑμᾶς αὐτοὺς ἑστιάσητε. μὴ θαυμάσητε δέ, εἰ παράδοξον ἐρῶ λόγον, καὶ παρὰ τὸν ὑμέτερον νόμον. οἳ πάντα εἰδέναι τε καὶ διδάσκειν ὑπισχνεῖσθε λίαν νεανικῶς καὶ γενναίως, ἵνα μὴ λυπῶ λέγων ἀμαθῶς καὶ θρασέως. Οὐ παντός ὦ οὗτοι τὸ περὶ θεοῦ φιλοσοφεῖν, οὐ παντός. οὐχ οὕτω τὸ πρᾶγμα εὔωνον, καὶ τῶν χαμαὶ ἐρχομένων. προσθήσω δέ, οὐδὲ πάντοτε. οὐδὲ πᾶσιν. οὐδὲ πάντα. ἀλλ' ἔστιν ὅτε. καὶ οἷς. καὶ ἐφ' ὅσον. οὐ πάντων μέν, ὅτι τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, καὶ πρὸ τούτων καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένων. ἢ καθαιρομένων, τὸ μετριώτατον. μὴ καθαρῷ γὰρ ἅπτεσθαι καθαροῦ, τυχὸν οὐδὲ ἀσφαλές. ὥσπερ οὐδὲ ὄψει σαθρᾷ, ἡλιακῆς ἀκτῖνος. ὅτε δέ; ἡνίκα ἂν σχολὴν ἄγωμεν ἀπὸ τῆς ἔξωθεν ἰλύος καὶ ταραχῆς. καὶ μὴ τὸ ἡγεμονικὸν ἡμῶν συγχέηται τοῖς μοχθηροῖς τύποις καὶ πλανωμένοις, οἷον γράμμασι πονηροῖς, ἀναμιγνύντων κάλλη γραμμάτων, ἢ βορβόρῳ, μύρων εὐωδίαν. δεῖ γὰρ τῷ ὄντι σχολάσαι καὶ γνῶναι θεόν. καὶ ὅταν λάβωμεν καιρόν, κρίνειν θεολογίας εὐθύτητα. τίσι δέ; οἷς τὸ πρᾶγμα διὰ σπουδῆς, καὶ οὐχ ὡς ἕν τι τῶν ἄλλων καὶ τοῦτο φλυαρεῖται ἡδέως, μετὰ τοὺς ἱππικοὺς καὶ τὰ θέατρα καὶ τὰ ᾄσματα καὶ τὴν γαστέρα καὶ τὰ ὑπὸ γαστέρα. οἷς καὶ τοῦτο, μέρος τρυφῆς, ἡ περὶ ταῦτα ἐρεσχελία καὶ κομψεία τῶν ἀντιθέσεων. τίνα δὲ φιλοσοφητέον καὶ ἐπὶ πόσον; ὅσα ἡμῖν ἐφικτά. καὶ ἐφ' ὅσον ἡ τοῦ ἀκούοντος ἕξις ἐφικνεῖται καὶ δύναμις. ἵνα μὴ καθάπερ αἱ ὑπερβάλλουσαι τῶν φωνῶν, ἢ τῶν τροφῶν, τὴν ἀκοὴν βλάπτωσιν, ἢ τὰ σώματα. εἰ βούλει δὲ τῶν φορτίων τὰ ὑπὲρ δύναμιν, τοὺς ὑποβαίνοντας. ἢ τὴν γῆν τῶν ὑετῶν οἱ σφοδρότεροι. οὕτω δὴ καὶ οὗτοι τοῖς στεῤῥοῖς, ἵν' οὕτως εἴπω, τῶν λόγων καταπιεσθέντες καὶ βαρυνθέντες, ζημιωθεῖεν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. καὶ οὐ λέγω τοῦτο μὴ δεῖν πάντοτε μεμνῆσθαι θεοῦ. μὴ πάλιν ἐπιφυέσθωσαν ἡμῖν οἱ πάντα εὔκολοι καὶ ταχεῖς. μνημονευτέον γὰρ θεοῦ μᾶλλον, ἢ ἀναπνευστέον. καὶ εἰ οἷόν τε τοῦτο εἰπεῖν, μηδὲ ἄλλο τι ἢ τοῦτο πρακτέον. κἀγὼ τῶν ἐπαινούντων εἰμὶ τὸν νόμον, ὃς μελετᾶν ἡμέρας καὶ νυκτὸς διακελεύεται, καὶ ἑσπέρας καὶ πρωῒ

Ayuntamiento de Madrid

καὶ μεσημβρίας διηγεῖσθαι, καὶ εὐλογεῖν τὸν κύριον ἐν παντὶ καιρῷ. εἰ
δεῖ καὶ τὸ Μωσέως εἰπεῖν, κοιταζόμενον, διανιστάμενον, ὁδοιποροῦντα, ὁτιοῦν
ἄλλο πράττοντα. καὶ τῇ μνήμῃ τυποῦσθαι πρὸς καθαρότητα. ὥστε οὐ τὸ με-
μνῆσθαι διηνεκῶς κωλύω, τὸ θεολογεῖν δέ. οὐδὲ τὴν θεολογίαν ὥσπερ εὐσεβές,
ἀλλὰ τὴν ἀκαιρίαν. οὐδὲ τὴν διδασκαλίαν, ἀλλὰ τὴν ἀμετρίαν. ἢ μέλιτος
μὲν πλησμονὴ καὶ κόρος, ἔμετον ἐργάζεται. καίπερ ὄντος μέλιτος. καὶ
καιρὸς τῷ παντὶ πράγματι ὡς Σολομῶντι κἀμοὶ δοκεῖ. καὶ τὸ καλὸν
οὐ καλόν, ὅταν μὴ καλῶς γίνηται. ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς
ἄωρον. καὶ γυναιξὶ κόσμος ἀνδρεῖος. ἢ γυναικεῖος ἀνδράσι. καὶ πένθει, γεω-
μετρία. καὶ πότῳ δάκρυον. ἐνταῦθα δὲ μόνον, τὸν καιρὸν ἀτιμάσοιμεν. οὗ
μάλιστα τιμητέον τὸ εὔκαιρον. μηδαμῶς ὦ φίλοι καὶ ἀδελφοί. ἀδελφοὺς
γὰρ ὑμᾶς ἔτι καλῶ. καίπερ οὐκ ἀδελφικῶς ἔχοντας. μὴ οὕτω διανοώ-
μεθα. μὴ δὲ καθάπερ ἵπποι θερμοὶ καὶ δυσκάθετοι, τὸν ἐπιβάτην λογι-
σμὸν ἀπορρίψαντες, καὶ τὴν καλῶς ἄγχουσαν εὐλάβειαν ἀποπτύσαν-
τες, πόρρω τῆς νύσσης θέωμεν. ἀλλ᾽ εἴσω τῶν ἡμετέρων ὅρων φιλοσοφῶ-
μεν. καὶ μὴ εἰς αἴγυπτον ἐκφερώμεθα. μὴ δὲ εἰς ἀσσυρίους κατασυρώμεθα.
μὴ δὲ ᾄδωμεν τὴν ᾠδὴν κυρίου, ἐπὶ γῆς ἀλλοτρίας. πάσης ἀκοῆς λέγω
ξένης τε καὶ ἡμετέρας. ἐχθρᾶς καὶ φιλίας, εὐγνώμονος καὶ ἀγνώμονος. ἣ
λίαν ἐπιμελῶς τηρεῖ τὰ ἡμέτερα. καὶ βούλοιτο ἂν τὸν σπινθῆρα τῶν ἐν
ἡμῖν κακῶν, γενέσθαι φλόγα. ἐξάπτει τε καὶ ἀναρριπίζει, καὶ εἰς οὐρανὸν
αἴρει ταῖς παρ᾽ ἑαυτῆς αὔραις λανθάνουσα. καὶ ποιεῖ τῆς βαβυλωνίας
φλογὸς τὰ κύκλῳ καταφλεγούσης, ὑψηλοτέραν. ἐπειδὴ γὰρ οὐκ ἐν τοῖς
ἑαυτῶν δόγμασιν ἔχουσι τὴν ἰσχύν, ἐν τοῖς ἡμετέροις σαθροῖς, ταύτην
θηρεύουσι. καὶ διὰ τοῦτο ὥσπερ αἱ μυῖαι τοῖς τραύμασιν, οὕτω τοῖς ἡμε-
τέροις ἐπιτίθενται, εἴτε ἀτυχήμασι χρὴ λέγειν, εἴτε ἁμαρτήμασιν.
ἀλλ᾽ ἡμεῖς γε μὴ ἐπιπλεῖον ἡμᾶς αὐτοὺς ἀγνοήσωμεν. μὴ δὲ τὸ περὶ
ταῦτα κόσμιον ἀτιμάσωμεν. ἀλλ᾽ εἰ μὴ τὴν ἔχθραν καταλύσασθαι δυ-
νατόν, ἐκεῖνό γε συμβῶμεν ἀλλήλοις. μυστικῶς τὰ μυστικὰ φθέγγεσθαι. καὶ
ἁγίως, τὰ ἅγια. καὶ μὴ ῥιπτεῖν εἰς βεβήλους ἀκοὰς τὰ μὴ ἔκφορα. μὴ δὲ
σεμνοτέρους ἡμῶν ἀποφαίνωμεν τοὺς προσκυνοῦντας τοῖς δαιμονίοις, καὶ
τῶν αἰσχρῶν μύθων καὶ πραγμάτων θεραπευτάς. οἳ θᾶττον ἂν τοῦ αἵματος,
ἢ λόγων ἔστιν ὧν, μεταδοῖεν τοῖς ἀμυήτοις. ἀλλ᾽ εἰδῶμεν ὥσπερ ἐσθῆτος
καὶ διαίτης καὶ γέλωτος καὶ βαδίσματος οὖσάν τινα κοσμιότητα, οὕτω



Ayuntamiento de Madrid

καὶ λόγου καὶ σιωπῆς· ὅτι καὶ λόγον πρεσβευόμεθα μετὰ τῶν ἄλλων τοῦ θεοῦ προσηγοριῶν καὶ δυνάμεων. ἔσω καὶ τὸ φιλόνεικον ἡμῶν ἔννομον. τί γέννησιν ἀκούει θεοῦ καὶ κτίσιν. καὶ θεὸν ἐξ οὐκ ὄντων. καὶ τομὴν καὶ διαίρεσιν καὶ ἀνάλυσιν, ὁ πικρὸς τῶν λεγομένων ἀκροατής; τί δικαστὰς τοὺς κατηγόρους καθίζομεν; τί τὰ ξίφη τοῖς ἐχθροῖς ἐγχειρίζομεν; πῶς οἴει δέξεται τὸν περὶ τούτων λόγον, ἢ μεθ' οἵας τῆς διανοίας, ὁ τὰς μοιχείας ἐπαινῶν καὶ τὰς παιδοφθορίας. καὶ προσκυνῶν τὰ πάθη. καὶ μηδὲν ὑπὲρ τὸ σῶμα διανοηθῆναι δυνάμενος. ὁ χθὲς καὶ πρώην ἑαυτῷ στήσας θεούς. καὶ τούτους ἐπὶ τοῖς αἰσχίστοις γνωριζομένους; οὐχ ὑλικῶς; οὐκ αἰσχρῶς; οὐκ ἀμαθῶς; οὐχ ὡς εἴωθεν; οὐ συνήγορον τῶν οἰκείων θεῶν καὶ παθῶν τὴν σὴν θεολογίαν ποιήσεται; εἰ γὰρ αὐτοὶ ταῖς φωναῖς ταύταις ἐπηρεαζόμεθα, χολῇ γ' ἂν ἐκείνους πείσαιμεν φιλοσοφεῖν ἐν τοῖς ἡμετέροις. καὶ εἰ παρ' ἑαυτῶν εἰσιν ἐφευρεταὶ κακῶν, πότε ἂν τῶν διδομένων ἀπόσχοιντο. ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος. ταῦτα οἱ πλεῖον ὑπὲρ τοῦ λόγου μαχόμενοι, ἢ ὅσον ἀρέσκει τῷ λόγῳ. καὶ ταυτὸν πάσχοντες τοῖς μαινομένοις. οἳ τοὺς ἰδίους οἴκους ἀνάπτουσιν. ἢ τοὺς παῖδας σπαράττουσιν. ἢ τοὺς γονέας περιωθοῦσιν, ὡς ἀλλοτρίους νομίζοντες. ἐπεὶ δὲ ἀπεσκευασάμεθα τοῦ λόγου τὸ ἀλλότριον, καὶ εἰς τὴν ἀγέλην τῶν χοίρων, ἀπεπεμψάμεθα τὸν πολὺν λεγεῶνα κατὰ βυθῶν χωρήσαντα. ὃ δεύτερόν ἐστι, πρὸς ἡμᾶς αὐτοὺς ἴδωμεν. καὶ ξέσωμεν εἰς κάλλος ὥσπερ ἀνδριάντα τὸν θεολόγον. ἐκεῖνο δέ, πρῶτον λογισώμεθα. τίς ἡ τοσαύτη περὶ τὸν λόγον φιλοτιμία καὶ γλωσσαλγία. τίς ἡ καινὴ νόσος αὕτη καὶ ἀπληστία. τί τὰς χεῖρας δήσαντες, τὰς γλώσσας ὡπλίσαμεν. οὐ φιλοξενίαν ἐπαινοῦμεν. οὐ φιλαδελφίαν. οὐ φιλανδρίαν. οὐ παρθενίαν. οὐ πτωχοτροφίαν θαυμάζομεν. οὐ ψαλμωδίαν. οὐ πάννυχον στάσιν. οὐ δάκρυον. οὐ τὸ σῶμα νηστείαις ὑποπιέζομεν. οὐ δι' εὐχῆς πρὸς θεὸν ἐκδημοῦμεν. οὐ τῷ κρείττονι τὸ χεῖρον ὑποζευγνύμεν. τὸν χοῦν λέγω τῷ πνεύματι. ὡς ἂν οἱ τῷ κράματι δικαίως δικάζοντες. οὐ μελέτην θανάτου τὸν βίον ποιούμεθα. οὐ τῶν παθῶν δεσπόται καθιστάμεθα, μεμνημένοι τὸ ἄνωθεν εὐγενείας. οὐ θυμὸν τιθασσεύομεν, ἐξοιδοῦντα καὶ ἀγριαίνοντα. οὐκ ἔπαρσιν καταβάλλουσαν. οὐ λύπην ἀλόγιστον. οὐχ ἡδονὴν ἀπαίδευτον. οὐ γέλωτα πορνικόν. οὐκ ὄψιν ἄτακτον. οὐκ ἀκοὴν ἄπληστον. οὐ λόγον ἄμετρον. οὐ διάνοιαν ἔκτοπον. οὐχ ὅσα

Ayuntamiento de Madrid

παρ' ἡμῶν ὁ πονηρὸς καθ' ἡμῶν λαμβάνει, τὸν διὰ τῶν θυρίδων, ὥς ἡ γραφή φησιν, εἴτουν αἰσθητηρίων εἰσάγων θάνατον. πᾶν μὲν οὖν τοὐναντίον, καὶ τοῖς ἄλλων πάθεσιν, ἐλευθερίαν δεδώκαμεν. ὥσπερ οἱ βασιλεῖς τὰς ἐπινικίους ἀφέσεις, μόνον ἂν πρὸς ἡμᾶς νεύωσι, καὶ κατὰ θεοῦ φέρωνται θρασύτερον. καὶ κακόν, οὐ καλοῦ πράγματος, μισθὸν ἀντιδίδομεν. τῆς ἀσεβείας, τὴν παῤῥησίαν. καί τοί γε ὦ διαλεκτικὲ καὶ λάλε. ἐρωτήσω σέ τι μικρόν, σὺ δὲ ἀπόκριναι. φησὶ τῷ Ἰὼβ ὁ διὰ λαίλαπος καὶ νεφῶν, χρηματίζων. πότερον πολλαὶ μοναὶ παρὰ τῷ θεῷ, ὅπερ ἀκούεις, ἢ μία. πολλαὶ δόσεις, δηλαδὴ καὶ οὐ μία. πότερον δέ, πληρωθῆναι δεῖ πάσας, ἢ τὰς μέν, τὰς δ' οὔ. ὡς εἶναι κενὰς καὶ μάτην ἡτοιμασμένας. ναὶ πάσας. οὐδὲν γὰρ εἰκῆ τῶν παρὰ θεοῦ γινομένων. ταύτην δέ, ὅ, τί ποτε θήσεις τὴν μονήν, ἔχοις ἂν εἰπεῖν; ἆρα τὴν ἐκεῖθεν ἀνάπαυσίν τε καὶ δόξαν, τὴν ἀποκειμένην τοῖς μακαρίοις, ἢ ἄλλό τι; οὐκ ἄλλό τι, ἢ τοῦτο. ἐπειδὴ τοῦτο ὡμολογήσαμεν, κἀκεῖνο προσεξετάσωμεν. ἔστι τί, τὸ ταύτας προξενοῦν τὰς μονὰς ὡς ὁ ἐμὸς λόγος, ἢ οὐδέν; ἔστι πάντως. τί τοῦτο; τὸ διαφόρους εἶναι πολιτείας καὶ προαιρέσεις. καὶ ἄλλην ἀλλαχοῦ φέρειν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως. ὅπερ καὶ ὁδοὺς ὀνομάζομεν. πάσας οὖν ὁδευτέον. ἢ τινὰς τῶν ὁδῶν τούτων; εἰ μὲν οἷόν τε τὸν αὐτὸν πάσας. εἰ δὲ μή, ὅτι πλείστας. εἰ δὲ μή, τινάς. εἰ δὲ μηδὲ τοῦτο, μέγα κἂν εἰ μίαν διαφερόντως, ὥς γέ μοι φαίνεται. ὀρθῶς τοῦτο ὑπολαμβάνεις. τί οὖν ὅταν ἀκούσῃς. μίαν ὁδὸν εἶναι καὶ ταύτην στενήν, τί σοι φαίνεται δηλοῦν ὁ λόγος; μίαν μὲν διὰ τὴν ἀρετήν. μία γὰρ κἂν εἰς πολλὰ σχίζηται. στενὴν δέ, διὰ τοὺς ἱδρῶτας, καὶ τὸ μὴ πολλοῖς εἶναι βατήν. ὡς πρὸς τὸ πλῆθος τῶν ἐναντίων, καὶ ὅσοι διὰ τῆς κακίας ὁδεύουσιν. οὕτω κἀμοὶ δοκεῖ. τί οὖν ὦ βέλτιστε. εἴπερ τοῦτο οὕτως ἔχει, ὥσπερ τινα πενίαν καταγνόντες τοῦ ἡμετέρου λόγου, πάσας τὰς ἄλλας ὁδοὺς ἀφέντες, πρὸς μίαν ταύτην φέρεσθε καὶ ὠθεῖσθε τὴν διὰ λόγου καὶ θεωρίας, ὡς αὐτοὶ οἴεσθε, ὡς δὲ ἐγώ φημι, ἀδολεσχίας καὶ τερατείας; ἐπιτιμάτω Παῦλος ὑμῖν, τοῦτο πικρῶς ὀνειδίζων μετὰ τὴν ἀπαρίθμησιν τῶν χαρισμάτων. ἐν οἷς φησι. μὴ πάντες ἀπόστολοι. μὴ πάντες προφῆται; καὶ τὰ ἑξῆς. ἔστω δέ. ὑψηλὸς σύ. καὶ ὑψηλῶν πέρα καὶ ὑπὲρ τὰς νεφέλας εἰ βούλει. ὁ τῶν ἀθεάτων θεατής. ὁ τῶν ἀῤῥήτων ἀκροατής. ὁ μετὰ Ἠλίαν μετάρσιος.



Ayuntamiento de Madrid

καὶ ὁ μετὰ Μωσέα θεοφανείας ἠξιωμένος. καὶ μετὰ Παῦλον οὐράνιος. τί καὶ τοὺς ἄλλους αὐθημερὸν πλάττεις ἁγίους. καὶ χειροτονεῖς θεολόγους. καὶ οἷον ἐμπνεῖς τὴν παίδευσιν. καὶ πεποίηκας λογίων ἀμαθῶν, πολλὰ συνέδρια; τοῖς ἀραχνίοις ἐνδεσμεῖς τοὺς ἀσθενεστέρους ὡς δή τι σοφὸν καὶ μέγα. τί σφηκίας ἐγείρεις κατὰ τῆς πίστεως; τί σχεδιάζεις ἡμῖν διαλεκτικῶν ἀνάδοσιν. ὥσπερ οἱ μῦθοι πάλαι τοὺς γίγαντας; τί τῶν ἀνδρῶν ὅσον κοῦφον καὶ ἄνανδρον ὥσπερ τινὰ συρφετὸν εἰς μίαν χαράδραν συναγαγὼν καὶ κολακείᾳ πλέον θηλύνας, καινὸν ἐργαστήριον ἐδημιούργησας, οὐκ ἀσόφως τὴν ἄνοιαν αὐτῶν ἐκκαρπούμενος; ἀντιλέγεις καὶ τούτοις; καὶ οὐδαμοῦ σοι τἆλλα; καὶ τὴν γλῶσσαν δεῖ δυναστεύειν πάντως. καὶ οὐ κατέχεις τὴν ὠδῖνα τοῦ λόγου; ἔχεις καὶ ἄλλας ὑποθέσεις πολλάς τε καὶ φιλοτίμους. ἐκεῖ τρέψον μετὰ τοῦ χρησίμου τὴν νόσον. βάλλε μοι Πυθαγόρου τὴν σιωπήν. καὶ τοὺς κυάμους τοὺς Ὀρφικούς. καὶ τὴν περὶ τὸ, αὐτὸς ἔφα καινοτέραν ἀλαζονείαν. βάλλε μοι Πλάτωνος τὰς ἰδέας καὶ τὰς μετενσωματώσεις καὶ περιόδους τῶν ἡμετέρων ψυχῶν. καὶ τὰς ἀναμνήσεις. καὶ τοὺς οὐ καλοὺς διὰ τῶν καλῶν σωμάτων ἐπὶ ψυχὴν ἔρωτας. Ἐπικούρου, τὴν ἀθεΐαν. καὶ τὰς ἀτόμους. καὶ τὴν ἀφιλόσοφον ἡδονήν. Ἀριστοτέλους, τὴν μικρολόγον πρόνοιαν. καὶ τὸ ἔντεχνον. καὶ τοὺς θνητοὺς περὶ ψυχῆς λόγους. καὶ τὸ ἀνθρωπικὸν τῶν δογμάτων. τῆς στοᾶς, τὴν ὀφρῦν. τῶν κυνῶν, τὸ λίχνον τε καὶ ἀγοραῖον. βάλλε μοι τὸ κενόν. τὸ πλῆρες, τῶν ληρημάτων. ὅσα περὶ θεῶν ἢ θυσιῶν. περὶ εἰδώλων. περὶ δαιμόνων, ἀγαθοποιῶν τε καὶ κακοποιῶν. ὅσα περὶ μαντείας. θεαγωγίας. ψυχαγωγίας. ἄστρων δυνάμεως, τερατεύονται. εἰ δὲ σύ, ταῦτα μὲν ἀπαξιοῖς λόγου, ὡς μικρά τε καὶ πολλάκις ἐληλεγμένα, περὶ δὲ τὰ σὰ στρέφῃ, καὶ ζητεῖς τὸ ἐν τούτοις φιλότιμον, ἐγώ σοι κἀνταῦθα παρέξομαι πλατείας ὁδούς. φιλοσόφει μοι περὶ κόσμου ἢ κόσμων. περὶ ὕλης. περὶ ψυχῆς. περὶ λογικῶν φύσεων βελτιόνων τε καὶ χειρόνων. περὶ ἀναστάσεως. κρίσεως. ἀνταποδόσεως. Χριστοῦ παθημάτων. ἐν τούτοις γὰρ καὶ τὸ ἐπιτυγχάνειν οὐκ ἄχρηστον. καὶ τὸ διαμαρτάνειν, ἀκίνδυνον. θεῷ δὲ ἐντευξόμεθα νῦν μὲν ὀλίγα. μικρὸν δὲ ὕστερον, ἴσως τελεώτερον. ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

Τέλος.

Ayuntamiento de Madrid

# ΕΠΙΓΡΑΜΜΑ ΚΡΑΤΗΤΟΣ ΦΙΛΟΣΟφου ἢ κατ᾽ ἄλλους Ποσειδίππου, εἰς τὰ τοῦ ἀνθρωπίνου βίου κακά.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
　Νείκεα, καὶ χαλεπαὶ πρήξιες. ἐν δὲ δόμοις,
Φροντίδες. ἐν δ᾽ ἀγροῖς, καμάτων ἅλις. ἐν δὲ θαλάσσῃ,
　Τάρβος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, δέος.
Ἢν δ᾽ ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον, οὐκ ἀμέριμνος
　Ἔσσεαι. οὐ γαμέεις, ζῇς ἔτ᾽ ἐρημότερος.
Τέκνα, πόνοι. πήρωσις, ἄπαις βίος. αἱ νεότητες,
　Ἄφρονες. αἱ πολιαὶ δ᾽ ἔμπαλιν ἀδρανέες.
Ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις. ἢ τὸ φυέσθαι
　Μηδέποτ᾽, ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Ἐκ τοῦ ἐναντίου. Μητροδώρου.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
　Κύδεα, καὶ πινυταὶ πρήξιες. ἐν δὲ δόμοις,
Ἄμπαυμ᾽. ἐν δ᾽ ἀγροῖς, φύσιος χαρίς. ἐν δὲ θαλάσσῃ,
　Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος.
Ἢν δ᾽ ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον, οἶκος ἄριστος
　Ἔσσεται. οὐ γαμέεις, ζῇς ἔτ᾽ ἐλαφρότερος.
Τέκνα, πόθος. ἄφροντις ἄπαις βίος. αἱ νεότητες,
　Ῥωμαλέαι. πολιαὶ δ᾽ ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις. ἢ τὸ φυέσθαι
　Μηδέποτ᾽, ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

Παύλου Σιλεντιαρίου. ποῖόν τιν᾽ ἂν ἀξιοῖ βίον αἱρετώτερον

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥῖψαι
　Φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.
Πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον. ἡ δὲ περισσὴ
　Θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
Ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
　Καὶ πενίην πλούτου, καὶ θάνατον βιότου.
Ταῦτα σὺ γιγνώσκων, κραδίης ἴθυνε κελεύθους,
　Εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

Ayuntamiento de Madrid

Relectis post impressionem hisce libellis pauca quæpiam erratu la nos suffugisse deprehendimus. Quę quãquã leuiora sunt. q̃z vt lectorem torquere aut offendere possint: hic tamẽ subiunximus. vt in his omnem dubitandi ansam cuiuis studioso præriperemus. Si quis præterea præposterum aliubi inuersum ve quempiam api culum/aut fortasse mendum aliud grauius deprehenderit: is aut laborem nostrum boni consulat/qui quod potuimus singulis tan tum exemplaribus adiuti præstauimus. aut si huncnon probat: aliqd ipe suo marte in cõmunẽ nostrorũ vtilitatẽ emẽdati⁹ promat.

Errata sic castigabis.

| pag. | ver. | | pagi. | ver. | | pag. | ver. | |
|---|---|---|---|---|---|---|---|---|
| 5 | 5 | μιᾶς ἡμέρας | 36 | 11 | τοὺς παῖδας | 48 | 33 | ἀσθενὴς ἂν |
| 6 | 18 | ἠρέμα | 40 | 7 | βοηθῆς | 58 | 3 | ἕκαστοι. |
| 26 | 21 | οὕτω | 41 | 3 | ὑπεροπτικὸν | 62 | 11 | τῇ τάξει |
| 27 | 32 | ἐμοὶ | 43 | 32 | παραπεπτή | 67 | 30 | ἴσως |
| 29 | 10 | ἅπαντα | | | (γασι | 71 | 26 | ἐκεῖνο |
| 30 | 23 | ἀπαλλάττη | 47 | 32 | παραπεπτω | 71 | 27 | ἅπαξ |
| 30 | 24 | ἅπαξ | | | (κότα | 72 | 15 | καὶ πότερον |
| 31 | 6 | ὅ,τε ἰδιώτης | 48 | 26 | ἕκαστον τῶν | 76 | 27 | ὑποζεύγνυμαι |

In epistola ipsa latina quæ statim post indicem in primo folio si ta est versu. 25. deest/recte/nam sic legendum est. Ita demum recte ministerio defungemini &c.

Ἐὰν ᾖς φιλομαθὴς ἔσῃ πολυμαθής.

Τέλος σὺν θεῷ. ᾧ δόξα καὶ
τιμὴ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων
ἀμήν.

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid

Ayuntamiento de Madrid